A. 1. *Εὐχώμεθα δυνατά.* 2. *Ἀνδρῶν ἀγορευόντων οἱ νεανίαι σιγὴν ἐχόντων.* 3. *Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου*[1]) *μὴ πλουσιώτερος, ἀλλ' ἐντιμότερος.* 4. *Ἀποτρέποιτε, ὦ θεοί, τὸν κίνδυνον τῆς ἡμετέρας πατρίδος.* 5. *Πᾶσα δύναμις καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπεικέτω*[2]). 6. *Ἐὰν νῦν τὰ ἡμέτερα φυλάττωμεν καὶ σῴζωμεν ἐν τῷ πολέμῳ, ἐν πολλῇ εἰρήνῃ βιοτεύσομεν.* 7. *Ἐν πάσῃ πόλει νόμοι πλέον ἰσχυόντων ἀνθρώπων.* 8. *Φεύγωμεν ἀεὶ τὴν ἀδικίαν.* 9. *Μήποτε μέλλοιτε τὰ ἀγαθὰ πράττειν καὶ τὰ κακα κωλύειν.* 10. *Οἱ Ἀρεοπαγῖται*[3]) *ἐν νυκτὶ καὶ σκότει ἐδίκαζον, ὅπως μὴ*[4]) *εἰς τοὺς λέγοντας βλέποιεν, ἀλλ' εἰς τὰ λεγόμενα.* 11. *Ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος, μηδ'*[5]) *ὁ πονηρὸς τὸν τοῦ χρηστοῦ τόπον κατεχέτω.* 12. *Μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα.*

13. *Πῶς οὖν*[6]) *μάχωμαι θνητὸς ὢν θείᾳ τύχῃ;*
14. *Φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα.*

B. 1. Laßt uns fröhlich sein[7]) mit den Fröhlichen[7]) und weinen[8]) mit den Weinenden! 2. Möget ihr immer den Göttern vertrauen! 3. Viele glauben weise zu sein, während sie es nicht sind[9]). 4. Die Jüngern sollen[10]) sich durch die Erfahrung der Ältern erziehen lassen[10]). 5. Marschieret vorwärts[11]), und ihr werdet in ein Land voll (von) Getreide und Wein kommen. 6. Die Seele soll herrschen im Körper, der Körper aber [ihr] dienen. 7. Das Volk wird stark sein, wenn[12]) die Guten und Gerechten über die [Angelegenheiten] des Staates[13]) beraten. 8. Möget ihr in Ruhe und Frieden euer Alter verleben! 9. Zürnet, aber sündiget[14]) nicht; die Sonne soll nicht untergehen[15]) über (auf) euerm Zorn. 10. Die Griechen wunderten sich, daß Kyros weder einen Boten schicke[16]), noch [selbst] sich zeige[16]).

---

[1]) *ἀπ-αλλάττομαι* entferne mich. [2]) *ὑπ-είκω* weiche. [3]) die Areopagiten, d. i. die Mitglieder des höchsten Gerichtshofes auf dem Areshügel in Athen. [4]) damit nicht. [5]) *μηδέ* und nicht. [6]) wie denn? [7]) *χαίρω.* [8]) *κλαίω.* [9]) Part. [10]) Imp. Med. [11]) *εἰς τὸ πρόσω.* [12]) *ἐάν* c. coni. [13]) die A. des St. *τὰ τῆς πόλεως.* Gr. § 143. A. (122. A.). [14]) *ἁμαρτάνω.* [15]) *δύομαι.* [16]) Opt.; zeige mich *φαίνομαι.*

45. Modi des Fut. und Aor. Akt. u. Med.

Gr. § 81. 83 (77. 78, 2. 3). — Reg. 18. 19. 22—25.

A. 1. *Πιστεύσαιτε. Ἱδρύσομεν. Θεραπεύσατε. Οὐκ ἂν κελεύσαιμεν. Βούλευσαι. Μὴ θηρεύσητε. Στρατευσώμεθα. Κώλυσον. Μηδὲν φυτεύσῃς. Βουλεύσειας ἄν. Μηνυσάντων. Περίβλεψον. Ἀκουσάτω. Οὐκ ἂν πιστεύσαιεν (πιστεύσειαν).*

2. *Μὴ παύσεσθε τῶν καλῶν ὀρεγόμενοι.* 3. *Ἄξω τοὺς συμμάχους, ὅποι ἄν*[1]) *βούλησθε.* 4. *Τῇ νῦν εἰρήνῃ*[2]) *μὴ πιστεύσωμεν· οὐ γὰρ ἀσφαλής ἐστιν.* 5. *Εἰ μὴ τῇ τύχῃ πιστεύσαις, ἀλλὰ τῇ ἰδίᾳ ἀρετῇ, ἄριστ' ἂν βιοτεύσειας.* 6. *Κικέρων ἔλεξεν, ὅτι ἡδέως καταλύσοι τὸν βίον, εἰ παύσειε τὸν Ἀντώνιον τῆς ὕβρεως.* 7. *Σὺν ἄφροσιν οὐκ ἂν ἀσφαλῶς βουλευσαίμεθα.* 8. *Ἀκούοντες διαβολὰς τὰ ὦτα κλείσατε (κλείετε).* 9. *Ἐν πάσαις ταῖς πόλεσι νόμοι εἰσὶ κωλύσοντες τοὺς κακούργους.* 10. *Τοῖς ψεύσταις οὐκ ἂν πιστεύσαιμεν, οὐδ'*[3]) *εἴ τι λέξειαν ἀληθές.* 11. *Τισσαφέρνης διέβαλλε τὸν Κῦρον πρὸς Ἀρταξέρξην τὸν ἀδελφόν, ὡς*[4]) *ἐπιβουλεύσειε τῇ βασιλείᾳ δυνάμει.* 12. *Ἄνθρωποι ὄντες οὔποτ' ἂν παυσαίμεθ' ἐλπίζοντες καὶ δειμαίνοντες.* 13. *Κροῖσος τῷ Ἀπόλλωνι συνεβουλεύσατο, εἰ*[5]) *πρὸς Κῦρον στρατεύσαιτο· ἡ δὲ Ἀπόλλωνος μαντεία ἦν·*
Κροῖσος Ἅλυν διαβὰς[6]) *μεγάλην ἀρχὴν καταλύσει.*

B. 1. Ich würde wohl trauen. Laßt uns pflanzen! Hindert nicht! Möget ihr die Wahrheit reden! Fraget um Rat! Wir könnten nicht trauen. Würdest du wohl anzeigen? Löset (nicht) auf! Glaube!

2. Laß ab vom[7]) Übermut, o Knabe! 3. Mögest du niemals Unverständige um Rat fragen! 4. Haltet[8]) Ruhe, damit[9]) alle Soldaten die Worte des Feldherrn hören! 5. Diene nicht den Begierden! 6. Euer Bote zeigte unserm Feldherrn an, daß die Feinde dem Heere nachstellen würden[10]). 7. Epaminondas riet den Thebanern nach der Schlacht bei Mantineia[11]), den Krieg beizulegen[12]).

46. Perfektum und Plusquamperfektum Aktivi.

Gr. § 79a. 81. 84; vgl. 187, 4. 5 (§ 73f. 77. 78, 4; vgl. 165, 4).

A. 1. *Ἵδρυκεν. Πεπιστεύκαμεν. Μεμηνυκέναι. Ἐκεκελεύκεσαν. Ἐπεφυτεύκετε; Πεφονεύκασιν. Οἱ τεθηρευκότες. Τοὺς τεθεραπευκότας. Τοῖς πεπαυκόσιν. Τὴν πεφυτευκυῖαν μητέρα.*

---

[1]) wohin immer. [2]) dem jetzigen Fr. [3]) selbst nicht. [4]) daß. [5]) ob er — sollte. [6]) überschreitend. [7]) Gen. [8]) *ἄγω.* [9]) *ἵνα* c. coni. [10]) Opt. Fut. [11]) *ἡ Μαντίνεια.* [12]) aufzulösen, Aor. Med.

2. *Νέοι μὲν ὄντες πεφυτεύκατε, νῦν δὲ ἥδεσθε τοῖς καρποῖς.* 3. *Μὴ πείθεσθε, ὦ Ἀθηναῖοι, τοῖς πεπιστευκόσι Φιλίππῳ.* 4. *Κεκωλύκασιν οἱ Θετταλοὶ Φίλιππον τὴν Μαγνησίαν τειχίζειν.* 5. *Πάντα πεπρέσβευκεν*[1]) *Αἰσχίνης ἐναντία τοῖς δικαίοις.* 6. *Μέλλειν οὐκ ἔστιν*[2]), *ὦ δικασταί, οἱ γὰρ νόμοι εἰσὶ κεκελευκότες τὴν δίκην λαμβάνειν παρὰ τοῦ βιαίου ἀνδρός.* 7. *Ἀεὶ θεραπεύετε τὰς μητέρας τὰς τοὺς παῖδας πρὸς ἀρετὴν πεπαιδευκυίας.* 8. *Ὤιοντο οἱ ἡμέτεροι πατέρες Κόνωνα τὴν Λακεδαιμονίων ἀρχὴν καταλύσαντα οὐ μικρὰν τυραννίδα πεπαυκέναι.* 9. *Μηνύσω τοὺς πρέσβεις συμβεβουλευκότας οὐ τὰ χρήσιμα τῇ πόλει καὶ τὴν εἰρήνην κεκωλυκότας.* 10. *Φωκίων γέρων ὢν ἔλεξε· „Πολλὰ συμβεβούλευκα τοῖς Ἀθηναίοις καὶ προσήκοντα, ἀλλ' οὐ πεπιστεύκασι τοῖς ἐμοῖς λόγοις".*
11. *Νέος πεφυκὼς*[3]) *πολλὰ χρηστὰ μάνθανε.*

B. 1. Wir sind ausgezogen. 2. Sie haben verbannt. 3. Geherrscht haben. 4. Denen, welche geraten haben[4]). 5. Wir haben Vertrauen. 6. Wir hatten Vertrauen. 7. Die Hellenen sagen, daß Homer Griechenland erzogen habe. 8. Möget ihr eure Söhne gut erzogen haben. 9. Gott hat viel (und) Gutes in unsere Seelen gepflanzt. 10. Seid dankbar (habet Dank) den Lehrern, welche[4]) die Jünglinge zu Tugend und Gerechtigkeit erzogen haben[4]). 11. Viele Jahre haben wir im Felde[5]) alle Gefahren bestanden und wollen (werden) nunmehr ruhig[6]) in der Heimat das Alter verleben.

47. Perf. und Plusquamperf. Med.-Pass. Gr. § 85 (78, 6). Konj. und Opt. von *εἰμί*. Gr. § 112, 2 (103, 3).

A. 1. *Βουλεύου μὲν βραδέως, διάπραττε δὲ ταχέως τὰ βεβουλευμένα.* 2. *Ἐν τῇ Σπάρτῃ οἱ νεανίαι μάλιστα εἰς ἀρετὴν ἐπεπαίδευντο.* 3. *Οὐ βίᾳ, ἀλλὰ διδασκαλίᾳ κεκωλύμεθα ταῖς ἡδοναῖς δουλεῦσαι.* 4. *Ὑπὸ*[7]) *τῇ ἀκροπόλει Πανὸς ἦν ἱερόν· ἵδρυτο δὲ μετὰ τὰ Μηδικά*[8]). 5. *Οὐ βουλεύεσθαι νῦν καιρός, ἀλλὰ βεβουλεῦσθαι.* 6. *Ἀντώνιος πολλοὺς πεφυγαδευμένους κατῆγεν.* 7. *Πᾶσαν τὴν ἡμέραν τοὺς πολεμίους διώξαντες εἰς τὴν ἑσπέραν ἐπέπαυντο.* 8. *Τῇ τῶν ἐπιτηδείων ἀπορίᾳ ὁ στρατὸς ἐκεκώλυτο εἰς τὴν πολε-*

---

[1]) *πρεσβεύω* verhandle als Gesandter, setze fest. [2]) es ist nicht erlaubt. [3]) *πέφυκα* hat die intrans. Bed.: ich bin (von Natur geworden). [4]) Part. Perf.; Reg. 13. [5]) Part. Präs. [6]) Adj. [7]) *ὑπό* c. dat. unter; Reg. 16, 4. [8]) *τὰ Μηδικά* die Perserkriege.

μίαν χώραν πορεύεσθαι. 9. *Οἱ Ἕλληνες ἤκουσαν, ὅτι οἱ βάρβαροι πέραν τοῦ ποταμοῦ ἐστρατοπεδευμένοι εἶεν.* 10. *Οἱ ὑπὸ τοῦ τυράννου πεφυγαδευμένοι πάντες σὺν τῇ ἡμετέρᾳ στρατιᾷ στρατεύσονται.* 11. *Πέπαυσο.*

12. *Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν πολλῶν κακά.*

B. 1. Gut erzogen [worden] zu sein ist der schönste Reichtum. 2. Durch die Künste sind wir vieler Mühen überhoben[1]) [worden]. 3. Während Xerxes mit seinem Heere gegen Athen heranzog, lebte[2]) Aristides verbannt[2]) in Ägina. 4. Ihr seid [dazu] erzogen, immer die Wahrheit zu sagen. 5. Polydamidas und alle Hopliten waren außerhalb der Stadt auf einem hohen Hügel gelagert. 6. Die Verschwornen[3]) meinten, es sei den Tyrannen alles bekannt (angezeigt). 7. In Athen ist Keiner durch Armut oder[4]) Herkunft (Geschlecht) von Ämtern und Ehren ausgeschlossen[5]). 8. Die von den Vätern gepflanzten Bäume werden den Kindern viele (und) gute Früchte bringen[6]). 9. Andern guten Rat erteilend (gut ratend) warst du selber[7]) schlecht beraten. 10. Ihr waret nicht gehindert [worden], neutral zu bleiben[8]). 11. Sei wohl beraten, und deine Pläne gelingen[9]) [dir] wohl!

48. Aor. und Fut. Passivi. Verbaladj. Gr. § 87. 88 (78, 8. 9).

A. 1. *Μετὰ τὴν ἐν Κνίδῳ ναυμαχίαν ἡ τῶν ἁρμοστῶν ἀρχὴ ἐπαύθη.* 2. *Εἴθε πάντες οἱ νεανίαι καλῶς παιδευθεῖεν.* 3. *Τῶν καλῶς βουλευθέντων καλὸν τὸ τέλος.* 4. *Τοῖς μὴ παιδευθεῖσι πρὸς ἀρετὴν οὐ προσήκει ἄλλων ἄρχειν.* 5. *Πολλῶν φονευθέντων οἱ Θηβαῖοι ἐπαύσαντο τῆς μάχης.* 6. *Ἀγησίλαος Ξενοφῶντα ἐκέλευσε τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν*[10]), *λέγων, ὅτι ἐκεῖ τὸ κάλλιστον τῶν μαθημάτων παιδευθήσοιντο, ἄρχειν τε καὶ ἄρχεσθαι.* 7. *Παυσανίας τῇ τῶν Λακεδαιμονίων πολιτείᾳ ἐπιβουλεύσας τοῖς ἐφόροις ἐμηνύθη.* 8. *Οὐκ ἀπειρίᾳ, ἀλλ' ἐμπειρίᾳ παιδευθήσῃ τοὺς τοῦ βίου κινδύνους ὑπομένειν.* 9. *Ἐκ παίδων*[11]) *οἱ πολῖται παιδευθέντων πρὸς τὰ ἄριστα.* 10. *Θεμιστοκλῆς φυγαδευθεὶς ἐξ Ἀθηνῶν διέτριψεν ἐν Ἄργει.* 11. *Ἄνευ ὁμονοίας τῶν πολιτῶν οὐκ ἂν πόλις εὖ πολιτευθείη*[12]). 12. *Πάντα τὰ ἄδικα καὶ παράνομα κωλυτέα ἐστὶν ἀγαθοῖς*[13]). 13. *Εἰ γῆν βούλει ἀφθόνους καρποὺς*

---

[1]) *παύω.* [2]) war verb., Plusqpf. [3]) *ὁ συνωμότης.* [4]) *ἤ.* [5]) *κωλύω* m. Gen. [6]) *φύω.* [7]) *αὐτός.* [8]) *ἡσυχίαν ἄγω.* [9]) *ἀποβαίνω.* [10]) erziehen. [11]) a pueris = a pueritia. [12]) *πολιτεύω* verwalte. [13]) für G., von G.

φέρειν, τὴν γῆν θεραπευτέον, 14. *Ὑφ' ἁπάντων τῶν ἀγαθῶν κωλυθήσῃ κακῶν ἔργων.* 15. *Οἱ Δράκοντος νόμοι πάντες κατελύθησαν πλὴν τῶν φονικῶν*[1]).

B. 1. Kyros wurde in den Sitten der Perser erzogen. 2. Die Feinde werden durch die Tapferkeit der Bürger von[2]) der Stadt abgehalten werden. 3. Ohne Strafen dürften die Kinder nicht gut erzogen werden. 4. Wir hörten, daß Alkibiades von Perikles unterrichtet[3]) worden sei[4]). 5. Die Knaben sind von[2]) schlechter Gesellschaft fern (ab)zuhalten[5]). 6. Viele der jungen Römer wurden in Athen gebildet[3]). 7. Den Barbaren wurde, als sie bei den Thermopylen von Leonidas am[2]) Einmarsch nach Griechenland gehindert wurden, von Ephialtes der Weg durch das Gebirge gezeigt. 8. Die Verräter des Vaterlandes müssen verbannt werden[5]). 9. Von den Dreißig[6]) wurden viele der besten Athener verbannt oder[7]) getötet. 10. Unsere Söhne werden von euern Lehrern erzogen werden. 11. Wenn die Stadt gut verwaltet[8]) werden soll[9]), muß man[5]) die übelwollenden Bürger hindern, die wohlwollenden ehren.

Tempusbildung der Verba contracta. Gr. § 91 (79).

Mit Ausschluß von Präsens und Imperfekt.

49. Verba auf -*άω*.

A. 1. *Δίκαια δρᾶσον.* 2. *Ἅπαντα τὰ τῶν Περσῶν ἱερὰ καὶ οἱ Μῆδοι τετιμήκασιν.* 3. *Ὀδυσσεὺς πολλὰ ἐμηχανήσατο πάσῃ τῇ στρατιᾷ ὠφελιμώτατα.* 4. *Ἐν Ἀθήναις οἱ ὑπὲρ τῆς πατρίδος τελευτήσαντες ταφῇ δημοσίᾳ*[10]) *ἐτιμήθησαν.* 5. *Ἰνδοὶ συγκατακάουσι*[11]) *τοῖς ἀνδράσιν, ὅταν τελευτήσωσι, τῶν γυναικῶν τὴν φιλτάτην.* 6. *Ἡρακλέα λέγουσιν ὑπὸ Διὸς γεννηθῆναι.* 7. *Πολλοὶ βουλαῖς, ἀλλ' οὐ τῇ τῶν πολεμίων ἀρετῇ νενίκηνται.* 8. *Κατὰ Πλάτωνα τοῖς τελευτήσασι καὶ μετὰ θάνατον αἴσθησίς ἐστιν.* 9. *Χρηστοὶ ἄρχοντες οὐκ ἐάσουσι τοὺς ἀρχομένους ἄδικα πάσχειν.*

---

[1]) *φονικός*, 3. den Mord betreffend. [2]) Gen. [3]) *παιδεύω*. [4]) Inf., od. *ὅτι* mit Opt. [5]) Imper. Aor., od. Verbaladj. [6]) *οἱ τριάκοντα*, indecl. [7]) *ἤ*. [8]) *πολιτεύω* verwalte. [9]) *μέλλω* mit Inf. Fut. [10]) *δημόσιος*, 3. öffentlich, auf Staatskosten. [11]) *συγ-κατα-κάω* verbrenne zugleich mit.

10. *Παρὰ τοῖς Ἀθηναίοις πρῶτον Ἡρακλῆς ὡς θεὸς ἐτετίμητο.* 11. *Πολλοὶ ἄλλους ἀπατήσοντες αὐτοὶ*[1]) *ἠπάτηνται.* 12. *Πύρρος ἤλπιζεν, ὥσπερ Ἀλέξανδρος μεγάλην ἀρχὴν ἐν τῇ Ἀσίᾳ ἐκτήσατο, ἐν τῇ Ἰταλίᳳ μεγάλην βασιλείαν κτήσεσθαι.* 13. *Θηρατέον τὰς ἡδονὰς τὰς μετὰ δόξης.* 14. *Ἐπαμεινώνδας ἐν Λεύκτροις νενικηκὼς ὑπό τε τῶν Θηβαίων καὶ τῆς πάσης σχεδὸν*[2]) *Ἑλλάδος μάλιστα ἐτιμήθη.* 15. *Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.*

B. 1. Machaon heilte die Wunden des Philoktetes. 2. Die Sieger[3]) in den Wettkämpfen trugen Kränze auf dem Haupte[4]). 3. Die Skythen hatten[5]) die Sitte, tapfern Männern, wenn sie gestorben waren[3]), zu opfern. 4. Möge unser Feldherr den Kampf sofort wagen und die Feinde schnell besiegen! 5. Nicht durch Vergnügen, sondern durch Tugenden werdet ihr euch Ruhm und Lob erwerben. 6. Als die Spartaner ankamen[6]), waren die Perser schon von den Athenern besiegt. 7. Leonidas und die dreihundert[7]) Spartaner erwarben sich, indem sie bei den Thermopylen ihr Leben beendigten[3]), unsterblichen Ruhm. 8. Solon befahl, daß die Söhne der im Kriege Gestorbenen[3]) auf Staatskosten[8]) erzogen werden. 9. Es gab (war) eine Weissagung, daß Erechtheus die Feinde besiegen werde, wenn[9]) er die älteste seiner Töchter geopfert habe[9]). 10. Xerxes betrachtete von der Küste aus die Seeschlacht bei Salamis. 11. Bewundert nicht den Reichtum, den oft auch der Schlechteste erwirbt[10])! 12. Wer nicht[11]) wagt[3]), wird nicht siegen.

50. Verba auf -έω.

A. 1. *Ἀριστείδης πλεῖστα ἀγαθὰ τὴν πόλιν πεποιηκὼς*[12]) *ἐν μεγίστῃ πενίᾳ ἐτελεύτησεν.* 2. *Ἄδραστος σὺν ἡγεμόσιν ἓξ*[13]) *ἐπολέμησε Θήβαις.* 3. *Τὰ ἄστρα οὐδείς πω*[14]) *τῶν ἀνθρώπων ἠρίθμηκεν οὐδὲ ἀριθμήσει.* 4. *Οἱ Πέρσαι πρέσβεις εἰς Ἀθήνας καὶ Σπάρτην ἔπεμψαν ὕδωρ καὶ γῆν αἰτήσοντας.* 5. *Ἀλέξανδρος τὴν τῶν Θηβαίων πόλιν ἐκπολιορκήσας ἐποιήσατο δούλους τοὺς ἐλευθέρους πάντας πλὴν τῶν ἱερέων.* 6. *Φίλιππος τοὺς Θηβαίους μείζους ἢ προσῆκε πεποίηκεν.* 7. *Ἀδυνάτοις μὴ ἐπιχειρήσητε.* 8. *Οἱ βάρβαροι ἐν πολλαῖς μάχαις νενικημένοι ὑπὸ τῶν Ἑλλήνων*

---

[1]) ipsi. [2]) beinahe, fast. [3]) Part. Aor. [4]) Plur. [5]) mit *εἶναι*. [6]) *ἥκω*. [7]) *τριακόσιοι*. [8]) *δημοσίᾳ*. [9]) *ἐάν* mit Konj. Aor.; vgl. Reg. 24, a. [10]) durch das Part. Aor. Pass. wiederzugeben. [11]) *μή*. [12]) *ποιέω τινὰ ἀγαθόν* thue jemd. gutes. [13]) sechs. [14]) *πώ* encl., noch.

κατεφρονήθησαν. 9. *Μηδέποτε ἀνακεχωρηκέναι τῷ στρατιώτῃ μεγάλην φέρει δόξαν.* 10. *Σοφοῦ ἀνδρός ἐστι κρατῆσαι τῆς ὀργῆς.* 11. *Ἡ τῶν Συρακοσίων πόλις λιμέσιν ἐκεκόσμητο μεγίστοις.* 12. *Οὐδέποτε ξένον ἀδικήσομεν, ἀλλὰ τιμήσομεν καὶ ὠφελήσομεν.* 13. *Ὁ ἐσθλὸς ἀνὴρ ὑπὸ πάντων πεφιλήσθω.* 14. *Οὐδεὶς οὔτε Ἑλλήνων οὔτε βαρβάρων ὑπὸ πλειόνων ἐπεφίλητο ἢ Κῦρος.* 15. *Ἰθώμη ὑπὸ τῶν Λακεδαιμονίων πολλὰ ἔτη ἐπολιορκήθη.* 16. *Οἱ Ἀθηναῖοί τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον ἐν τῷ Κεραμεικῷ*[1]*· τῶν δ' ἐν Μαραθῶνι τετελευτηκότων ὡς ἀνδρειοτάτων καὶ αὐτοῦ*[2]*) τὸν τάφον ἐποίησαν.*

17. *Φίλου τρόπους γίγνωσκε*[3]*), μισήσῃς δὲ μή.*
18. *Τέρας*[4]*) ἐστίν, εἴ τις ηὐτύχηκε διὰ βίου.*

B. 1. Die Märkte der Griechen waren mit Tempeln und Altären und Weihgeschenken und Bildwerken aller Art[5]) geschmückt. 2. Der edle Mann wird den edlen Mann nicht hassen. 3. Die Freiheit hatte die Griechen tapfer gemacht. 4. Die Heiligtümer und Städte der Griechen waren von den Persern mit Feuer und Schwert[6]) zerstört [worden]. 5. Die langen Mauern von der Stadt in den Piräus sind von Perikles erbaut. 6. Den Gestorbenen halfen die Schätze nichts. 7. Einen schlechten Mann mache dir nicht zum Freunde! 8. Alexander, in Tarsos heftig erkrankt[7]), wurde von Philipp dem Akarnanen durch einen Trunk[8]) geheilt. 9. Der Tempel in Delphi war mit vielen (und) schönen Weihgeschenken geschmückt. 10. Es ist jedes Menschen [Pflicht], die Unglücklichen zu bemitleiden[9]).

51. Verba auf *-όω*. — Regel 29.

A. 1. *Ἀλεξάνδρου τὸν τοῦ Ἀχιλλέως τάφον στεφανώσαντος Ἡφαιστίων τὸν τοῦ Πατρόκλου ἐστεφάνωσεν.* 2. *Τεταπείνωται τῷ Πελοποννησιακῷ πολέμῳ ἡ τῶν Ἀθηναίων δόξα πρὸς πάντας ἀνθρώπους.* 3. *Κόνων τοὺς Ἕλληνας ἠλευθέρωσε καὶ τὰ τείχη τὰ τῆς πατρίδος*[10]*) ἀνώρθωσεν.* 4. *Λεωνίδας καὶ οἱ Σπαρτιᾶται ἐν ταῖς Θερμοπύλαις λελουμένοι καὶ ἐστεφανωμένοι ἤρξαντο τῆς μάχης.* 5. *Ὑπὸ Κροίσου μεμισθωμένοι ἦσαν Θρᾷκες πολλοί.* 6. *Οἱ Μασσα-*

---

[1]) der Kerameikos (Töpfermarkt) war die schönste Vorstadt von Athen. [2]) an Ort und Stelle. [3]) suche zu —. [4]) *τὸ τέρας* das Wunder. [5]) mannigfaltig. [6]) Eisen. [7]) Part. Perf. [8]) ein Heilmittel. [9]) *ἐλεέω*. [10]) Vaterstadt.

γέται, Σκυθικὸν ἔθνος, ἐδηλώσαντο τὴν ἀρετὴν ἐν τῷ πρὸς Κῦρον πολέμῳ. 7. *Κῦρος ὁ παλαιός, τοὺς Πέρσας ἐλευθερώσας, καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο καὶ τῆς ἄλλης Ἀσίας μέχρι τῆς Αἰγύπτου ἐκράτησεν.* 8. *Κῦρος ὁ νεώτερος στρατευσόμενος πρὸς τὸν ἀδελφὸν ἐμισθώσατο Ἑλληνικοὺς ξένους.* 9. *Πλάτων πρὸς παῖδα*[1]) *ἀδικήσαντα ἔλεξεν· „Ἐμεμαστίγωσο ἄν*[2]), *εἰ μὴ ὠργιζόμην."* 10. *Οὐκ ἠκούσατε τοὺς ὑμετέρους φίλους ὡς εὐεργέτας τῆς πόλεως Ἀθήνησιν*[3]) *ἐν τῷ θεάτρῳ ἐστεφανῶσθαι;* 11. *Δαρεῖος ἐξεστράτευσεν ὡς δουλωσόμενος τὴν Εὐρώπην.* 12. *Οἱ Ἀθηναῖοι οὐ πρότερον ἐπαύσαντο ὀργιζόμενοι Περικλεῖ, πρὶν*[4]) *ἐζημίωσαν χρήμασιν.*

B. 1. Gott demütigt[5]) die Stolzen[6]). 2. Die Griechen würdigten den Herakles als (wie) Wohlthäter der Menschen großer Ehren. 3. Viele der vom Großkönig geknechteten Städte wurden von Kimon befreit. 4. Die Verräter werden nach dem Gesetz vom Feldherrn bestraft werden. 5. Die Schwächern werden oft von den Stärkern geknechtet[5]). 6. Es ist besser, mit wackern Sitten als mit goldenem Kranz gekränzt [worden] zu sein. 7. Die gemieteten Soldaten kämpfen oft sehr tapfer. 8. Wenn ihr Unrecht thut[7]), werdet ihr bestraft werden. 9. Ganz Thessalien[8]) ist von hohen Bergen rings umkränzt[9]). 10. Die Ermordung des Ibykus wurde durch Kraniche[10]) ans Licht gebracht (angezeigt). 11. Auch die geknechteten Thessalier[8]) wünschen befreit zu werden[5]). 12. Strafet[5]) diejenigen nicht, die euern Freunden jetzt Unrecht gethan haben, denn sie werden von den Göttern gestraft werden.

52. Zur Repetition. Deponentia passiva u. Medialpassiva.

Gr. § 77, 2. Anm. (71, 3. Anm.) u. 124, 1. 2 (94, 3).

A. 1. *Μὴ πεφόβησθε.* 2. *Κύρου τελευτήσαντος βασιλεὺς ἐπὶ τῇ νίκῃ μέγα φρονήσας τοὺς Ἕλληνας τὰ ὅπλα ᾔτησεν.* 3. *Ἐπορεύθησαν οἱ Ἕλληνες τὸν ἥλιον ἐν δεξιᾷ ἔχοντες.* 4. *Οἱ Σάμιοι τῆς πόλεως ἐλευθερωθείσης πολλοὺς τῶν Μεγαρέων πολίτας ἐποιήσαντο.* 5. *Ἐὰν μηδὲν δράσῃς ἄδικον, μηδὲν φοβηθῇς, ἐὰν δὲ κακὰ ποιήσῃς, τὸν δικαστὴν φοβήθητι.* 6. *Οἱ μετὰ Ξενοφῶντος στρα-*

---

[1]) hier: Sklave. [2]) du wärest g. w. [3]) zu Athen. Gr. § 56 (51). [4]) bevor, bis. [5]) Aor. [6]) *ὑβρίζω.* [7]) Konj. Aor., Reg. 24, a. [8]) *ἡ Θετταλία, ὁ Θετταλός.* [9]) *περι-στεφανόω.* [10]) *ἡ γέρανος.*

τιῶται ἐβουλεύσαντο, ποτέραν ὁδὸν πορευθεῖεν[1]). 7. Φυγαδευθέντες ἐκ τοῦ ἄστεως οἱ προδόται ἐν ταῖς ὕλαις καὶ τοῖς ὄρεσιν ἐπλανήθησαν. 8. Χρησμός τις Φιλίππῳ συμβουλεῦσαι λέγεται· „Ἀργυραῖς λόγχαις μάχεσθαι πειράθητι, καὶ πάντα κρατήσεις.' 9. Ὁ ἡμέτερος στρατηγὸς τὰ τῆς στρατιᾶς ἁμαρτήματα μᾶλλον πεφόβηται ἢ τὰς τῶν ἐναντίων βουλάς. 10. Ἐπεὶ Μιλτιάδης, τοὺς πολεμίους νικήσας, στέφανον ᾔτησε παρὰ τοῦ δήμου, τῶν Ἀθηναίων τις ἔλεξεν· „Ἐὰν μόνος, ὦ Μιλτιάδη, νικήσῃς τοὺς βαρβάρους, τότε καὶ τιμηθῆναι μόνος ἀξίωσον."

11. Ξέρξης μεγάλῃ δυνάμει ἐκ Σάρδεων ὁρμηθεὶς δι' Ἀσίας καὶ Εὐρώπης ἐπορεύθη ὡς δουλωσόμενος τὴν Ἑλλάδα. Ἐπεὶ δὲ ἐγγὺς ἦν τῆς ἐν Θερμοπύλαις εἰσόδου, οἱ ἐκεῖ Ἕλληνες φοβηθέντες ἐβουλεύοντο περὶ ἀπαλλαγῆς[2]). Οἱ μὲν οὖν ἄλλοι Πελοποννήσιοι ἐβούλοντο, ἀναχωρήσαντες εἰς τὴν Πελοπόννησον, τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ, Λεωνίδας δέ, Φωκέων καὶ Λοκρῶν θυμωθέντων τῇ γνώμῃ, αὐτοῦ[3]) μένειν ἐβουλεύσατο, καὶ ἀνδρειότατα μαχόμενος οὐκ ἂν ἡττήθη[4]), εἰ μὴ ἐκυκλώθη. Ὕστερον δὲ Ξέρξης, πειραθεὶς τοῦ ἐν Σαλαμῖνι ναυτικοῦ τῶν Ἑλλήνων, ἡττήθη, καὶ φοβηθεὶς ὡς τάχιστ' ἀνεχώρησεν εἰς τὰ Σοῦσα.

B. 1. Nachdem die Herrschaft der Lyder gestürzt (beendigt) war, marschierte Kyros gegen die Babylonier. 2. Menschen, welche schnell reich geworden sind[5]), verachten[5]) oft die Armen. Wir haben uns nicht Geld, sondern Freunde erworben. 4. Zugleich mit Tagesanbruch[6]) brachen die Feinde aus dem Lager auf. 5. Möget ihr niemals von der Wahrheit und Gerechtigkeit abirren! 6. Den Körper suchet (vers.)[5]) mit Reinheit[7]) zu schmücken[5]), die Seele mit Wissenschaften. 7. Als Philippus gestorben war, kam Demosthenes, obgleich[8]) kurz (wenig) vorher seine Tochter gestorben war, auf den Markt, geschmückt mit glänzendem Kleide, voll Freude[9]) über den Tod des Philippus. 8. Die Lakedämonier und ihre Bundesgenossen fürchteten die Größe (Menge) der Flotte der Athener. 9. Xerxes zürnte von allen Hellenen dem Leonidas am meisten. 10. Wenn jemand[10]) versuchen sollte, die Gesetze des Staates aufzulösen, [so] ist er schonungslos[11]) zu bestrafen.

---

1) welchen W. ... sollten. 2) ἡ ἀπαλλαγή der Abzug. 3) an Ort und Stelle. 4) wäre nicht u. 5) Aor. 6) mit dem Tage. 7) ἡ καθαριότης, ητος. 8) καίπερ mit Part., Gen. absol. 9) περιχαρής τινι. 10) ὃς ἂν mit Konj. Aor., Reg. 24, b. 11) ἀφειδής, 2.

53. Arion.

Lerne Gr. § 66, 4 = 61, 2 (*αὐτοῦ, αὐτῆς* u. s. f.); § 72, 1 = 66, 1 (*ὅς, ἥ, ὅ*), und merke *τοῦτο* hoc, *ταῦτα* haec (§ 71, 3 = 65, 2).

Ἀρίων ὁ Μηθυμναῖος κιθαρῳδὸς[1] *πολὺν χρόνον διατρίψας παρὰ Περιάνδρῳ, τῷ Κορίνθου τυράννῳ*[2]*, ἀπεδήμησεν εἰς τὴν Ἰταλίαν καὶ τὴν Σικελίαν. Κτησάμενος δ' ἐκεῖ πολλὰ χρήματα ἐπεθύμησεν εἰς Κόρινθον ἀναχωρῆσαι, ἄλλως τε καὶ*[3] *Περιάνδρου δι' ἐπιστολῆς αὐτὸν πείσαντος πάλιν διατρίβειν παρ' αὐτῷ. Σπεύδων οὖν οἴκαδε ἐν Τάραντι*[4] *τῆς Ἰταλίας ἐμισθώσατο πλοῖον Κορινθίων ναυτῶν, οἷς μᾶλλον ἢ ἄλλοις ἐπίστευεν. Ἤδη δ' ἐν μέσῃ θαλάττῃ*[5] *οὔσης τῆς νεὼς οἱ ναῦται, ἐπιθυμήσαντες τῶν τοῦ ἀνδρὸς χρημάτων, ἐβουλεύσαντο φονεῦσαι αὐτόν. Ὁ δὲ τοῦτο μηχανησαμένους αὐτοὺς θεασάμενος ἐλιπάρησε*[6]*, τὰ μὲν χρήματα πάντα δέξασθαι, τοῦ δὲ βίου φείσασθαι. Οἱ δὲ οὔτε θεοὺς οὔτ' ἀνθρώπους σεβόμενοι οὐκ ἐπείθοντο, ἀλλ' ἢ*[7] *ἐπὶ τῆς νεὼς αὐτὸν ἑαυτὸν*[8] *ἀποκτείνειν ἠξίωσαν, ἵνα*[9] *ταφὴν αὐτῷ ὕστερον ἐπὶ τῆς ἠπείρου ποιήσειαν, ἢ ἐκπηδῆσαι εἰς τὴν θάλατταν.*

Ἐνταῦθα Ἀρίων ᾐτήσατο τοὺς ναύτας ἐπιτρέψαι αὐτῷ τὸ ὕστατον[10] *ᾆσαι, ᾄσας δὲ ἐκπηδήσεσθαι*[11] *ἔλεξεν. Τοῦτο δ' αὐτῷ ἐπέτρεψαν οἱ ναῦται, ὀρεγόμενοι καὶ αὐτοὶ*[12] *ἀκοῦσαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ. Καὶ κοσμησάμενος καλοῖς ἱματίοις Ἀρίων ᾖσε καλλίστην ᾠδήν· ᾄσας δὲ καὶ εὐξάμενος τοῖς θεοῖς σὺν τῇ σκευῇ πάσῃ κατεπήδησεν εἰς τὴν θάλατταν. Οἱ δὲ ναῦται ἔσπευσαν ἥκειν εἰς Κόρινθον, τὸ ἔργον μὴ δηλωθήσεσθαι ἐλπίζοντες, ἀλλ' ἠπάτηντο.*

Ἀρίονα γάρ, ὡς λέγουσι, δελφὶς ἐπὶ τὸ νῶτον ἐδέξατο, καὶ ἀσφαλῶς μετ' αὐτοῦ τὴν θάλατταν ἐπέρασε μέχρι Ταινάρου τῆς Λακωνικῆς. Ἐντεῦθεν εἰς Κόρινθον πορευθεὶς ὁ Ἀρίων Περιάνδρῳ διηγήσατο[13] *πάντα. Ὁ δὲ ἀπιστήσας τῷ λόγῳ τοὺς ναύτας ἐπεὶ ἧκον εἰς τὸν λιμένα, μετεπέμψατο καὶ ἠρώτησεν, εἴ τι περὶ Ἀρίονος ἔχοιεν λέγειν. Καὶ πρῶτον μὲν ἐψεύσαντο, λέγοντες ὡς σῶς*[14]

---

1) Arion, berühmter lyrischer Dichter und Sänger (*ἡ κιθάρα*, die Zither, und *ἀοιδός*) aus Methymna (*Μήθυμνα*) auf Lesbos, lebte um 600 v. Chr. 2) Periander regierte von 625—585 v. Chr. 3) (sowohl sonst als da), besonders da. 4) *Τάρας, αντος* Tarentum. 5) mitten auf dem Meere. Gr. § 141, 2 (120, 2). 6) *λιπαρέω* flehe. 7) *ἤ — ἤ* entweder — oder. 8) sich selbst. 9) damit. 10) zum letzten Male. 11) med. Fut. mit aktiver Bedeutung. Gr. § 122, 1 (93, 1). 12) ebenfalls. 13) *δι-ηγέομαι* setze auseinander, erzähle. 14) *σῶς* wohlbehalten. Gr. § 41, 3. Anm. (60).

εἴη ἐν τῇ Ἰταλίᾳ. Εἶτα δὲ θεασάμενοι Ἀρίονα κεκοσμημένον, ὥσπερ ἔχων ἐκ τῆς νεὼς ἐξεπήδησεν, ἀρνηθῆναι[1]) *τὸ ἔργον ἠδυνάτησαν*[2]) *καὶ ὑπὸ Περιάνδρου θανάτῳ ἐζημιώθησαν. Ἀρίονος δὲ ἦν ἀνάθημα χαλκοῦν οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπὼν*[3]) *ἄνθρωπος.*

Das Zahlwort. Gr. § 76 (70).

54.

A. 1. *Ἐξ οὐδενὸς γίγνεται οὐδέν.* 2. *Ἐξ Ἀβύδου εἰς Σηστὸν ἑπτὰ ἢ ὀκτὼ στάδιοί εἰσιν.* 3. *Σεμίραμις ἐτελεύτησε βασιλεύσασα ἔτη δύο καὶ τετταράκοντα.* 4. *Δι' Ἑλένην χίλιαι νῆες ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος.* 5. *Οἱ Ἀθηναῖοι πέντε καὶ τετταράκοντα ἔτη ἦρξαν τῶν Ἑλλήνων.* 6. *Κατὰ Ἐρατοσθένη τῆς γῆς ὁ ἥλιος ἀπέχει σταδίων ὀκτὼ καὶ ἑβδομήκοντα μυριάδας.* 7. *Ὀρφεὺς ἦν υἱὸς Καλλιόπης, μιᾶς τῶν ἐννέα Μουσῶν.* 8. *Ἀμφοῖν ἀκούσατε, ὦ δικασταί, πρὶν*[4]) *ἂν δικάζητε.* 9. *Ὁ Ἀρμενίας σατράπης τῷ βασιλεῖ κατ' ἔτος δισμυρίους πώλους ἔπεμψε δασμόν.* 10. *Ἐλέγετο ἡ σὺν Δαρείῳ στρατιὰ εἰς ἑξήκοντα μυριάδας εἶναι.* 11. *Τὸ ἔτος δώδεκα μηνῶν ἢ τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν ἐστιν.* 12. *Ἀμφικτύονες ἐμίσθωσαν τὸ ἐν Δελφοῖς ἱερόν, τὸ νῦν ὄν, τριακοσίων ταλάντων*[5]) *οἰκοδομῆσαι.* 13. *Λυσιμάχῳ ἦν ἑκατὸν πλέθρα γῆς πεφυτευμένης ἐν Εὐβοίᾳ καὶ δένδρα πεφυτευμένα πολλά.* 14. *Οἱ Περσῶν παῖδες ἀπὸ πέντε ἐτῶν μέχρι τεττάρων καὶ εἴκοσι τρία μόνα ἐπαιδεύοντο, τοξεύειν καὶ ἀκοντίζειν καὶ ἀληθεύειν.* 15. *Τρεῖς ἡμέρας πορευθέντες ἧκον οἱ Ἕλληνες ἐπὶ τὸ Μηδίας λεγόμενον τεῖχος*[6])*· ἦν δὲ ᾠκοδομημένον πλίνθοις ὀπταῖς*[7])*, εὖρος*[8]) *μὲν εἴκοσι ποδῶν, ὕψος*[8]) *δὲ ἑκατόν, μῆκος*[8]) *δ' ἐλέγετο εἶναι εἴκοσι παρασαγγῶν.*

16. *Καππάδοκες, Κᾶρες, Κίλικες, τρία κάππα κάκιστα.*

B. 1. Das Plethron ist 100 Fuß lang[8]), das Stadion aber 500 Fuß oder 5 Plethra, die Parasange 30 Stadien, der Tagemarsch 5 oder 6 oder 7 Parasangen. 2. Der Tod des Leonidas und der 300 Spartaner war sehr ruhmvoll. 3. Pyrrhus verbrachte zwei Jahre und vier Monate in Italien. 4. In dem Heere waren elftausend

---

[1]) *ἀρνέομαι*, dep. pass., leugne. [2]) *ἀδυνατέω* bin nicht imstande, kann nicht. [3]) d. i. *ἐπ-ών*. [4]) bevor. [5]) der Wert des Talentes beträgt ungefähr 4800 M. od. 6000 Frk. (vgl. Gramm. S. 261 = 158). [6]) die sogenannte medische Mauer. [7]) *πλίνθος ὀπτή* gebrannter Ziegelstein, Backstein. [8]) an Breite, an Höhe, an Länge: Acc. der Beziehung. Gr. § 151 (136).

Schwerbewaffnete und zweitausend Leichtbewaffnete. 5. In den drei Häfen Athens waren immer viele Schiffe. 6. Hieron war 45 Jahre [lang] König über die Syrakusier[1]). 7. Platää[2]) ist von Theben siebenzig Stadien entfernt. 8. Über die Perser herrschten dreizehn Könige, über die Römer aber sieben. 9. Du wirst von niemandem gehindert werden, die Wahrheit zu sagen. 10. Wir haben zwei Ohren, aber einen Mund, damit[3]) wir mehr hören, aber weniger sagen. 11. Vier Augen erkennen mehr als zwei. 12. In der Seeschlacht bei Salamis hatten[4]) die Griechen 378 Schiffe. 13. Alle Perser waren Sklaven außer Einem, dem König. 14. Die angesehensten[5]) Behörden[6]) der Athener waren die 9 Archonten und die 10 Feldherrn. 15. Leichter ernährt ein Vater zehn Kinder, als zehn Kinder einen Vater.

55.

A. 1. *Μάριος πρῶτος τῶν Ῥωμαίων ἑπτάκις ἦν ὕπατος*[7]). 2. *Τὸ στράτευμα, ἀναπεπαυμένον ἐκ μακρᾶς ὁδοῦ, ἡμέρᾳ πέμπτῃ ὡρμήθη.* 3. *Σωκράτης ἐτελεύτησε δευτέρῳ ἔτει τῆς ἐνενηκοστῆς πέμπτης ὀλυμπιάδος.* 4. *Τὰ ἑξάκις ἓξ ἐστὶν ἓξ καὶ τριάκοντα.* 5. *Ὁ μὴν δωδέκατον μέρος ἔτους ἐστίν.* 6. *Οἱ Ἕλληνες δὶς μιᾷ ἡμέρᾳ ἐνίκησαν, κατὰ γῆν μὲν ἐν Πλαταιαῖς, κατὰ θάλατταν δὲ ἐν Μυκάλῃ.* 7. *Τρεῖς τρὶς πόσοι*[8]) *εἰσὶ πόδες;* 8. *Τῷ ἀδελφῷ συγγίγνωσκε*[9]) *οὐχ ἑπτάκις, ὦ υἱέ, ἀλλὰ ἑβδομηκοντάκις ἑπτάκις.* 9. *Δεκάτῳ ἔτει πρὸ τῆς ἐν Σαλαμῖνι μάχης ἦν ὁ ἐν Μαραθῶνι ἀγών· ἦν δὲ τρίτῳ ἔτει τῆς ἑβδομηκοστῆς δευτέρας ὀλυμπιάδος.* 10. *Ξέρξης πρώτῳ τῆς πέμπτης καὶ ἑβδομηκοστῆς ὀλυμπιάδος ἔτει πολλῷ στρατεύματι ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν· τοῦ μὲν γὰρ πεζοῦ πλῆθος ἦν ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες, τῶν δὲ ἱππέων ὀκτὼ μυριάδες, τῶν δὲ τριήρων ἀριθμὸς ἑπτὰ καὶ διακόσιαι καὶ χίλιαι.* 11. *„Δὶς παῖδες οἱ γέροντες", ἡ παροιμία*[10]).

B. 1. Ein Jahr ist der vierte Teil einer Olympiade. 2. Einige nannten die Sappho die zehnte Muse. 3. Die Mine[11]) ist der sechzigste Teil des Talentes, die Drachme[11]) der hundertste der Mine, der Obolus[11]) der sechste der Drachme. 4. Kritias war der gewaltthätigste der Dreißig. 5. Nicht einmal, sondern oft bin ich euern Söhnen begegnet. 6. Siebenmal neunundvierzig sind dreihundert und dreiundvierzig.

---

[1]) *ὁ Συρακόσιος.* [2]) *αἱ Πλαταιαί, ῶν.* [3]) *ἵνα* m. Konj. [4]) durch *εἶναι* zu geben. [5]) *ἔντιμος*, 2. [6]) *ἡ ἀρχή.* [7]) Konsul. [8]) quot? [9]) verzeihe. [10]) das Sprichwort. [11]) *ἡ μνᾶ* (Gen. *μνᾶς*), *ἡ δραχμή*, *ὁ ὀβολός*, s. Gramm. S. 261, 3 (158, 3).

7. Odysseus und Diomedes töteten in einer Nacht dreizehn Thraker. 8. Auf vier Inseln Griechenlands waren Heiligtümer des Theseus, auf Skyros, Delos, Naxos [und] Kreta. 9. Die Alten brachten den Toten am[1]) dritten, neunten [und] dreißigsten Tage nach dem Tode Trauerspenden[2]). 10. Alexander der Makedonier starb im ersten Jahre der 114. Olympiade, nachdem er zwölf Jahre regiert hatte.

NB. Hier kann Nr. 86 gelesen werden.

Tempusbildung der Verba muta.

Gr. § 92. — § 93 u. 94 (§ 75. — § 81 u. 82).

56. Dentalstämme. Vgl. Gr. § 104, 6—12 (96, 6—12).

A. 1. *Θεμιστοκλέους πείσαντος οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ.* 2. *Μὴ πιστεύσητε τοῖς ἐψευσμένοις.* 3. *Ζεὺς δεινότατα ἐκόλασε Προμηθέα διὰ τὸ ἁρπάσαι τὸ πῦρ καὶ κομίσαι*[3]) *εἰς τοὺς ἀνθρώπους.* 4. *Οἱ τῶν θεῶν μὴ πεφροντικότες ἀτυχήσουσιν.* 5. *Πείσας*[4]) *λάμβανε, μὴ βιασάμενος.* 6. *Σπείσαντες οἱ στρατηγοὶ τοὺς στρατιώτας ἐκέλευσαν συσκευάσασθαι.* 7. *Θῆβαι αἱ ὑπὸ Κάδμου ἐκτισμέναι ὑπ' Ἀλεξάνδρου πεπόρθηνται.* 8. *Οὐ χαλεπόν ἐστι γιγνώσκειν λογισαμένῳ, ὡς ἐπιμελῶς ὁ θεὸς πάντα ἐν τῷ κόσμῳ κατεσκεύακεν.* 9. *Ὁ φρόνιμος τοῖς μὲν ἀγαθοῖς ἡδέως πείσεται, ὑπὸ δὲ τῶν πονηρῶν οὐδέποτε πεισθήσεται.* 10. *Ἀμφίπολις ἡ ἐπὶ Στρυμόνι ὑπὸ τῶν Ἀθηναίων ἔκτιστο καὶ ᾤκιστο.* 11. *Οἱ Ἕλληνες ἐν Σαλαμῖνι ὑπὸ Θεμιστοκλέους ἠναγκάσθησαν νικῆσαι.* 12. *Νόμοις πειστέον.* 13. *Πέπεισο μηδὲν αἴσχιον εἶναι τῆς ἀδικίας.* 14. *Λυκοῦργος τὴν Σπάρτην μὴ τείχεσιν, ἀλλὰ τῇ τῶν πολιτῶν ἀνδρείᾳ τετειχίσθαι ἐβούλετο.* 15. *Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη.* 16. *Οἱ Σπαρτιᾶται ἐν τοῖς ὅπλοις εὖ γεγυμνασμένοι ἦσαν.* 17. *Ἔλεγόν τινες, ὡς Ξενοφῶν βούλοιτο, πεπεικὼς τοὺς ἄλλους στρατηγούς, ἄγειν τοὺς στρατιώτας πάλιν εἰς Φᾶσιν.* 18. *Τὰς τῶν θεῶν βουλὰς οὐδεὶς ἂν φράσειεν.* 19. *Εἴθε τῶν πραγμάτων ἄμεινον πεφροντίκοιτε.* 20. *Γανυμήδης ὑπὸ Διὸς ἁρπασθῆναι λέγεται.* 21. *Οὐκ ἐψηφίσασθε τάς τε ναῦς παρασκευάσασθαι τήν τε στρατιὰν ὁπλίσασθαι;* 22. *Ἐν τοῖς Δράκοντος νόμοις μία ἅπασι τοῖς ἁμαρτάνουσιν*[5]) *ὥριστο ζημία, θάνατος.* 23. *Φίλιππος ὁ Μακεδὼν τῶν πολεμίων τοὺς μὲν ἐνίκησε βιασά-*

---

[1]) bloßer Dat. [2]) *αἱ χοαί.* [3]) Reg. 28. [4]) d. h. auf gütlichem Wege. [5]) *ἁμαρτάνω* fehle.

μενος, τοὺς δὲ ψευσάμενος, τοὺς δὲ πείσας[1]). 24. *Νίκησον ὀργὴν τῷ λογίζεσθαι*[2]) *καλῶς*. 25. *Οὐκ ἐάν τις πολλὰ λέγῃ, θαυμασθήσεται, ἀλλ' ἐὰν χρήσιμα*. 26. *Ἢ αὐτὸς καλῶς συμβούλευσαι, ἢ πείσθητι τῷ καλῶς συμβουλεύσαντι*. 27. *Ἐπύαξα ἡ Κίλισσα*[3]) *βλέψασα τὴν λαμπρότητα*[4]) *καὶ τὴν τάξιν τοῦ τῶν Ἑλλήνων στρατεύματος ἐθαύμασεν· Κῦρος δὲ ἥσθη τὸν τῶν βαρβάρων φόβον βλέψας*. 28. *Γύμναζε παῖδας, ἄνδρας οὐ γὰρ γυμνάσεις*.

B. 1. Überlege vor der That! 2. Strafe niemals im Zorn[5])! 3. Du hast uns[6]) nicht überzeugt; aber wir werden deinem Rate gehorchen. 4. Die Lakedämonier übten ihre Söhne besser als die andern Griechen in den Waffen. 5. Der Tartarus war mit ehernen Mauern befestigt. 6. Semiramis gründete Babylon und viele andere Städte. 7. Datis, der Feldherr des Darius, schonte die Insel Delos. 8. Von keinem Volke wurden mehr Kolonien gegründet als von den Griechen. 9. Mache dir keinen [zum] Freund, bevor[7]) du ihn geprüft hast. 10. Von den Persern wurde das Feuer [für einen] Gott gehalten. 11. Die Amphiktyonen vernichteten die Krisäer[8]), indem sie sagten, daß[9]) sie gegen den delphischen Gott gefrevelt hätten. 12. Für Kyros den Jüngern war von Klearchos ein großes Heer gesammelt [worden]. 13. Apollo und Poseidon sollen Troja befestigt haben. 14. Schmeichler[10]) werden den Unverständigen zwar überreden, den Verständigen aber nicht täuschen. 15. Die Götter haben alles dem Menschen Notwendige aufs beste zubereitet. 16. Homer ist stets bewundert worden und wird immer bewundert werden. 17. Agamemnon wurde von den andern Königen gezwungen, seine Tochter zu opfern.

57. Gutturalstämme. Vgl. Gr. § 104, 13—16 (96, 13—16).

A. 1. *Λόγισαι πρὸ τοῦ ἔργου, τοῦ δ' ἔργου ἄρξαι ἀπὸ τοῦ θεοῦ*. 2. *Ἐπιτάξαι ῥᾷόν ἐστι τοῦ πρᾶξαι*. 3. *Οἱ Ἀθηναῖοι ἐνόμιζον ἅπαντα ὑπὸ Ἀλκιβιάδου ἐπὶ*[11]) *τυραννίδι πεπρᾶχθαι*. 4. *Ἐὰν πλοῦτον κτήσησθε, οὔπω πάντων τῶν κακῶν ἀπήλλαχθε*. 5. *Ἡ φύσις τοῖς ἀνθρώποις μέτρον ἔταξεν*. 6. *Πολλάκις τὸ κτήσασθαι ῥᾷόν ἐστι τοῦ φυλάξαι*. 7. *Ὑπὸ χρηστοῦ παιδὸς ἀεὶ τἀληθῆ λεχθήσεται*. 8. *Τοῖς τῆς πατρίδος πολεμίοις πάντες ἀνδρείως*

---

[1]) s. S. 47, 4. [2]) Reg. 28. [3]) die Kilikerin, Königin von Kilikien. [4]) *ἡ λαμπρότης, ητος* der Glanz, die Pracht. [5]) Part. Perf. (Aor.). [6]) *ἡμᾶς*. [7]) *πρὶν ἄν* mit Konj. Aor. [8]) *οἱ Κρισαῖοι*. [9]) *ὅτι* mit Opt. Aor. [10]) *ὁ κόλαξ, κος*. [11]) für, zum Zwecke einer G.

ἀντιταξόμεθα. 9. *Μὴ ἐπιτάξῃς μηδενὶ*[1]) *μηδὲν*[1]) *κακόν.* 10. *Ὀρέστης τὴν μητέρα φονεύσας ὑπὸ τῶν Ἐρινύων ἐδιώχθη.* 11. *Οἱ Ἕλληνες οἱ ὑπὸ Κύρου εἰς τὴν Ἀσίαν ἀναχθέντες ὑπὸ Ξενοφῶντος ἐπὶ τὴν θάλατταν κατήχθησαν.* 12. *Πεφύλαξο πρᾶξαι τὰ ἀποκεκηρυγμένα.* 13. *Ἄνευ ὁμονοίας καὶ σωφροσύνης οὐδὲν ἂν καλὸν καὶ ἀγαθὸν πραχθείη οὔτ' ἐν τοῖς οἴκοις οὔτ' ἐν ταῖς πόλεσιν.* 14. *Ποιητέα ἐστίν, ἃ ἂν ἐπιτάξωσιν οἱ ἄρχοντες κατὰ τοὺς νόμους.* 15. *Ἐπέταξε Ζεὺς Αἰνείᾳ, ἐν τῇ Ἰταλίᾳ νέαν ἀρχὴν κτίσαι.* 16. *Ἰφικράτης τὸ στράτευμα οὕτως ἔλεγε δεῖν*[2]) *συντετάχθαι, ὡς ἓν σῶμα, θώρακα μὲν ἔχον τὴν φάλαγγα, χεῖρας δὲ τοὺς γυμνῆτας, πόδας δὲ τοὺς ἱππέας, κεφαλὴν δὲ τὸν στρατηγόν.* 17. *Πύρρος νικήσας ἐν Ἡρακλείᾳ τοὺς Ῥωμαίους ἕτοιμος ἦν σπείσασθαι αὐτοῖς· οἱ δὲ ἔλεξαν, ὅτι σπείσοιντο μέν, εἰ ἀποχωρήσειε τῆς Ἰταλίας, εἰ δὲ μή*[3]), *πολεμήσοιεν.*

18. *Πολλοὺς κακῶς πράξαντας ὤρθωσεν τύχη.*

B. 1. Alles ist gethan, was du zu thun befahlest. 2. Möchten die Thore der Stadt gut bewacht sein! 3. Alle Menschen wünschen, daß[4]) es ihnen wohl gehe[4]). 4. Die Athener stellten sich bei Marathon allein den Barbaren entgegen. 5. Die Gestorbenen sind befreit von Krankheit und Trauer und den andern Übeln des Lebens. 6. Gegenüber den Athenern waren die Phöniker aufgestellt, gegenüber den Lakedämoniern aber die Joner. 7. Xerxes hütete sich nicht vor[5]) der List des Themistokles. 8. Wegen unserer Bogenschützen gerieten die feindlichen Reiter in Verwirrung. 9. Von deinem Vater überredet, thaten wir das, was [uns] von ihm aufgetragen worden war. 10. Wenn[6]) du das Aufgetragene[7]) nicht thust[6]), wirst du von allen Guten verachtet werden[8]). 11. Das von dem Gesetzgeber Angeordnete wird durch den Unverstand der Bürger verwirrt werden. 12. Cave canem! 13. Niemand soll sich zu sehr verwirren lassen durch Unglücksfälle. 14. Beginne kein Werk, bevor[9]) du überlegt hast, wie[10]) das Ende sein wird[11]); nachdem du aber angefangen hast, höre nicht auf, bevor[9]) du es durchgeführt hast. 15. Was vielen aufgetragen ist, führt oft keiner aus.

---

[1]) irgend einem etwas ... [2]) Inf. zu *δεῖ.* [3]) andernfalls, sonst. Gr. § 207, 3. b. (185, 2. b.). [4]) Inf. Fut. [5]) Acc. [6]) *ἐάν* mit Konj. Aor.; R. 24, a. [7]) Plur. [8]) Vgl. Gr. § 185 (163, 1). [9]) *πρὶν ἄν* mit Konj. Aor.; R. 23. 24, a. [10]) wie beschaffen, *ὁποῖος,* 3. [11]) *ἔσται.*

58. Labialstämme. Vgl. Gr. § 104 (96), 17—25.

A. 1. *Ὑπὸ Διὸς Ἑρμῆς πρὸς Καλυψὼ ἐπέμφθη κελεύσων ἀποπέμψαι Ὀδυσσέα εἰς τὴν πατρίδα.* 2. *Φαρνάβαζος ὑπὸ Τισσαφέρνους μάλιστα βεβλάφθαι ἐνόμισεν.* 3. *Πάντα τὰ κεκρυμμένα ἐκκαλυφθήσεται.* 4. *Ἐν Μαραθῶνι οἱ Ἀθηναῖοι ὑπὸ πάντων πλὴν Πλαταιέων καταλελειμμένοι ἦσαν.* 5. *Ἀντιγόνη τὸν τοῦ ἀδελφοῦ νεκρὸν ἔθαψεν, καίπερ*[1]) *Κρέοντος ἀποκηρύξαντος μὴ*[2]) *θάψαι.* 6. *Οἱ τοῦ Δράκοντος νόμοι αἵματι γεγράφθαι ἐλέγοντο.* 7. *Κῦρος ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας καὶ Καππαδοκίας κατεπέμφθη.* 8. *Ἀντίγονος τὸ Εὐμένους σῶμα τοῖς συγγενέσιν ἐπέτρεψε θάψαι.* 9. *Θεραπεύετε τοὺς θεοὺς καὶ τοὺς θρέψαντας γονέας.* 10. *Κροῖσος, καταστρεψάμενος τοὺς ἐν τῇ Ἀσίᾳ Ελληνας, ἐβούλετο ναῦς ποιησάμενος ἐπιχειρῆσαι τοῖς νησιώταις.* 11. *Σικελίας τὸ πρὸς Λιβύην τετραμμένον μέρος κατέχουσι Σελινούντιοι.* 12. *Πολλοὶ τῶν Ἀθηναίων στρατηγοὶ φυγαδευθέντες ἐπὶ ξένης*[3]) *τεθαμμένοι εἰσίν.* 13. *Πλεῖστον χρόνον ἐν ἐλευθερίᾳ ὁ τῶν Ἀθηναίων δῆμος τέθραπται.* 14. *Οἰδίποδος λύσαντος τὸ αἴνιγμα*[4]) *ἡ Σφὶγξ ἐρρίψατο ἀπὸ τῆς ἀκροπόλεως· Οἰδίπους δὲ ἦρξε τῶν Θηβαίων.* 15. *Ἐρρίφθω ὁ κύβος.*

B. 1. Weder durch die Zeit, noch durch das Glück wird eine schändliche That verhüllt werden. 2. Die griechischen Frauen trugen das Haupt[5]) verhüllt[6]). 3. Alles, was auf dem Hinaufmarsch und auf dem Hinabmarsch gethan wurde, ist von Xenophon aufgeschrieben. 4. Die Zeit wird alles Verborgene enthüllen. 5. In der Schlacht soll der Schild enthüllt sein. 6. Die Zukunft ist von Gott weislich verborgen worden. 7. Wohl gepflegte[7]) Hände sind ungeschickt[8]), den Acker zu bestellen[9]). 8. Nach der Schlacht begruben die Soldaten die Gestorbenen[6]) mit großen Ehren. 9. Gottes Gebote (Gesetze) sollen in die Herzen[10]) der Menschen eingegraben[11]) sein. 10. Die meisten trauen dem Geschriebenen[6]) besser als dem Gesprochenen[6]). 11. Oft werden die Gesinnungen der Menschen durch den Zorn enthüllt[12]). 12. Der Dichter Euripides liegt (ist) in Makedonien begraben. 13. Die Perser waren in einfachern Sitten erzogen[7]) [worden] als die Meder.

---

[1]) *καίπερ* mit Part: obgleich. [2]) Gr. § 223 (202), 4. A. 2. [3]) sc. *γῆς*. [4]) das Rätsel. [5]) Plur. [6]) Part. Perf. [7]) *τρέφω*. [8]) *κακός*. [9]) bestelle d. A. *γεωργέω*, Aor. [10]) *ἡ διάνοια*. [11]) *ἐγ-γράφω*. [12]) Ind. Aor.

59. Der Ring des Polykrates.

Merke: *ἔφη*, inquit, sagte er, und Regel 26.

Πολυκράτης ὁ Αἰάκους τὸ μὲν πρῶτον μετὰ Πανταγνώτου καὶ Συλοσῶντος τῶν ἀδελφῶν τῆς Σάμου ἦρχεν, ὕστερον δὲ τὸν μὲν πρεσβύτερον φονεύσας, τὸν δὲ νεώτερον φυγαδεύσας, πάσης τῆς νήσου ἐκράτησεν· ἔχων δ' αὐτὴν πρὸς Ἄμασιν τὸν Αἰγύπτου βασιλέα ξενίαν ἐποιήσατο. Ἐν χρόνῳ δὲ ὀλίγῳ τὰ τοῦ Πολυκράτους πράγματα ηὐξάνετο, καὶ ἧκεν ὁ λόγος περὶ αὐτοῦ εἰς τήν τε Ἰωνίαν καὶ τὴν ἄλλην Ἑλλάδα· ὅτε γὰρ στρατεύσαιτο[1], *πάντα αὐτῷ ἀπέβαινεν*[2] *εὐτυχῶς. Ἐκέκτητο δὲ πεντηκοντόρους*[3] *τε ἑκατὸν καὶ χιλίους τοξότας, καὶ πολλῶν μὲν νήσων ἐκράτησε, πολλῶν δὲ καὶ τῆς ἠπείρου ἄστεων. Μεγάλως δὲ εὐτυχήσας Ἄμασιν οὐκ ἐλάνθανεν*[4], *ὃς γράψας ἐπιστολὴν εἰς Σάμον ἔπεμψε τάδε*[5] *λέγουσαν· Ἄμασις Πολυκράτει ὧδε λέγει· Ἡδὺ μὲν ἀκοῦσαι, ἄνδρα φίλον καὶ ξένον εὖ πράττειν· ἐμοὶ*[6] *δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι λογισαμένῳ, ὡς οἱ θεοί εἰσι φθονεροί. Οὐ γάρ ἐστιν, ὡς ἀκούω καὶ βλέπω, οὐδεὶς*[7] *ἀνθρώπων, ὃς εὐτυχήσας τὰ πάντα*[8] *οὐ κακῶς ἐτελεύτησεν. Πείσθητι οὖν ἐμοὶ καὶ ποίησον τάδε*[5]*· φρόντισον, ὅ σοι*[9] *τῶν κτημάτων πλείστου ἄξιόν ἐστι, καὶ οὗ στερηθεὶς μάλιστ' ἂν λυπηθείης. Τοῦτο, μὴ φθονήσωσι μηδὲ ὀργισθῶσί σοι οἱ θεοί, ἀπόρριψον· μηκέτι εἰς ἀνθρώπους ἡκέτω.*

Ἐνθυμηθεὶς ταῦτα ὁ Πολυκράτης ἐνόμισε τιμιώτατον εἶναι κτῆμα σφραγῖδα[10], *ἣν ἔφερε, χρυσόδετον*[11], *σμαράγδου λίθου*[12] *οὖσαν. Καὶ πεντηκόντορον πληρώσας ἀνδρῶν ἀνήχθη*[13] *εἰς τὴν θάλατταν. Ὡς δὲ μακρὰν*[14] *ἀπὸ τῆς νήσου ἀπεχώρησε, πάντων βλεπόντων τὴν σφραγῖδα ἀπορρίψας εἰς τὸ βάθος οἴκαδε ἐπανέρχεται*[15].

Μετὰ δὲ ταῦτα πέμπτῃ ἢ ἕκτῃ ἡμέρᾳ ἧκεν ἀνὴρ ἁλιεὺς[16] *εἰς τὰ βασίλεια, ἰχθὺν μέγαν τε καὶ καλὸν βουλόμενος δωρήσασθαι τῷ βασιλεῖ. Εἰσαχθεὶς οὖν πρὸς αὐτόν· „Ὦ βασιλεῦ,“ ἔφη, „μέγιστον*

---

1) *ὅτε* mit Opt.: so oft als. 2) *ἀπο-βαίνω* verlaufe, gehe aus 3) *ἡ πεντηκόντορος* (sc. *ναῦς*) der Fünfzigruderer. 4) *λανθάνω* m. Acc. bleibe jemdm. verborgen. 5) haec. 6) mihi. 7) *οὐ . . . οὐδείς* keiner. Gr. § 223 (202), 5. 8) in allem. Gr. § 153 (138). 9) *σοί* (encl.) tibi. 10) *ἡ σφραγίς, ῖδος* das Siegel, der Siegelring. 11) in Gold gefaßt. 12) von Smaragdstein. Gr. § 161 (146). 13) *ἀνάγομαι*, M. P., fahre hinaus. 14) weit. 15) kehrt zurück. 16) *ὁ ἁλιεύς* der Fischer.

ἰχθὺν σαγηνεύσας[1]) *οὐκ ἠξίωσα φέρειν εἰς τὴν ἀγοράν, καίπερ τὸν βίον ἀπὸ τῶν χειρῶν ποριζόμενος, ἀλλ' ἐνόμισα σοῦ*[2]) *τε μόνου ἄξιον εἶναι καὶ τῆς σῆς ἀρχῆς· σοὶ οὖν αὐτὸν φέρω." Ὁ δὲ ἡσθεὶς τοῖς λόγοις· „Εὖ ἐποίησας," ἔφη, „καὶ χάριν διπλῆν ἔχοις ἂν τῶν τε λόγων καὶ τοῦ δώρου." Καὶ ὁ μὲν ἁλιεὺς μετὰ τοῦ βασιλέως ἐπὶ δεῖπνον εἰσήχθη, τὸν δὲ ἰχθὺν τέμνοντες εὑρίσκουσιν οἱ θεράποντες ἐν τῇ γαστρὶ αὐτοῦ τὴν Πολυκράτους σφραγῖδα. Καὶ θαυμάσαντες αὐτίκα ἐκόμισαν τῷ βασιλεῖ, ὁ δὲ θεῖον εἶναι νομίσας τὸ πρᾶγμα πάντα τῷ Ἀμάσιδι ἔγραψεν. Ὁ δὲ Ἄμασις, δεξάμενος τὴν ἐπιστολήν, ἐπέπειστο, ὅτι ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκκομίσαι ἐκ τῆς μελλούσης συμφορᾶς, καὶ ὅτι οὐκ εὖ τελευτήσειν μέλλοι Πολυκράτης εὐτυχῶν τὰ πάντα, ὃς καὶ ἃ ἀπορρίψειεν εὑρίσκοι. Πέμψας δ' αὐτῷ κήρυκα εἰς Σάμον διαλύσασθαι ἔλεξε τὴν ξενίαν, ἵνα μή, ἐάν ποτε δεινῇ καὶ μεγάλῃ συμφορᾷ Πολυκράτης περιπίπτῃ*[3]), *αὐτὸς τὴν ψυχὴν*[4]) *λυπηθείη ὡς περὶ ξένου ἀνδρός.*

Οὐ πολλοῖς δ' ἔτεσιν ὕστερον αἱ μεγάλαι Πολυκράτους εὐτυχίαι ἐτελεύτησαν, ὅπῃ[5]) *Ἄμασις ἐμαντεύσατο.*

Präsens und Imperfekt der Verba contracta. Gr. § 89 u. 90 (80).

60. Verba auf -*άω*.

A. 1. *Αἱ τῶν Σπαρτιατῶν μητέρες ἐκέλευον τοὺς υἱοὺς τοὺς εἰς πόλεμον πορευσομένους ἢ νικᾶν ἐν ταῖς μάχαις ἢ τελευτᾶν.* 2. *Ὁ θάνατος μόνος δώρων οὐκ ἐρᾷ.* 3. *Οἱ Ἀθηναῖοι μάλιστα ἐτίμων Ἀθηνᾶν καὶ Ποσειδῶνα.* 4. *Μὴ γέλα ἐπὶ τοῖς δυστυχέσιν.* 5. *Τὸ ἀγαθὸν ἀεὶ νικῴη.* 6. *Σίγα, ἢ κρείττονα σιγῆς λέγε.* 7. *Ἡδύ γε*[6]) *δικαίους ἄνδρας εὐτυχεῖς ὁρᾶν.* 8. *Μὴ ταῦτα πρᾶττε, ἃ τοῖς ἄλλοις πράττουσιν ἂν ἐπιτιμῴης.* 9. *Πᾶσα ἡ στρατιὰ μεγάλῃ φωνῇ ἐβόα· „Ζεὺς σωτὴρ καὶ νίκη".* 10. *Βίας ἀσεβοῦς ἀνθρώπου ἐρωτῶντος, τί ποτέ*[7]) *ἐστιν εὐσέβεια, ἐσίγα· ἐκείνου*[8]) *δὲ τὴν αἰτίαν τῆς σιγῆς ἐρωτῶντος· „Σιωπῶ," ἔφη, „ὅτι ἐρωτᾷς περὶ τῶν οὐδέν σοι*[9]) *προσηκόντων."*

11. *Νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.*

12. *Νικᾷ ὁ μείων τὸν μέγαν δίκαιος ὤν.*

---

[1]) *σαγηνεύω* fange. [2]) tui. [3]) *περι-πίπτω* m. Dat. falle, gerate in etw. [4]) in seiner Seele, Acc. der Beziehung; vgl. S. 51, 8. [5]) wie. [6]) *γέ* (encl.) sicherlich, wahrlich. [7]) was denn. [8]) *ἐκεῖνος* jener. [9]) S. 51, 9.

13. *Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται* 14. *Ἐν Λακεδαίμονι μάλιστα ἐτιμῶντο οἱ γέροντες.* 15. *Μὴ κακοῖς ἰῶ κακά.* 16. *Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.* 17. *Τὰ τῶν ἡττωμένων χρήματα τῶν νικώντων ἐστίν.* 18. *Οἱ τοὺς παῖδας πρὸς ἀρετὴν πεπαιδευκότες δικαίως ἂν τιμῷντο.* 19. *Φίλους μὴ πάντας κτᾶσθε, ἀλλὰ τοὺς ἀρίστους.* 20. *Ἐὰν τὸν μὲν σοφὸν ἐρωτᾷς, πολλὰ μανθάνεις· ἐὰν δὲ τὸν ἄφρονα ἐρωτᾷς, ἀπατᾷ.* 21. *Οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως*[1]) *θύραις παιδευόμενοι ἤκουον καὶ ἐθεῶντο καὶ τοὺς τιμωμένους ὑπὸ βασιλέως καὶ τοὺς ἀτιμαζομένους.* 22. *Οἱ Ἀθηναῖοι Ἀναξαγόραν τὸν Περικλέους φίλον ᾐτιῶντο ἀσεβείας.* 23. *Οἱ Ὀλύμπια*[2]) *νενικηκότες ὑπὸ πάντων τῶν Ἑλλήνων ἐτιμῶντο.*

24. *Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.*

25. *Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.* 26. *Θεμιστοκλῆς, νέος ἔτι ὤν, ἔλεξεν, ὅτι αὐτὸν τὸ τοῦ Μιλτιάδου τρόπαιον τοῦ ἐν Μαραθῶνι νικήσαντος οὐκ ἐῴη καθεύδειν.* 27. *Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα τῷ ἀγαθῷ τὸ κακόν.* 28. *Θεμιστοκλῆς ἐρωτώμενος, πότερον μᾶλλον ἂν Ἀχιλλεὺς ἢ Ὅμηρος βούλοιτο εἶναι· „Σὺ δ' αὐτός*[3]*)," ἔφη, „μᾶλλον ἂν ἐθέλοις ὁ νικῶν*[4]) *ἐν Ὀλυμπίᾳ ἢ ὁ κηρύττων*[4]) *τοὺς νικῶντας εἶναι;"*

29. *Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος θεός.*

B. 1. Ein Mann sieht nicht alles. 2. Lache niemals beim[5]) Unglück Anderer. 3. Die Menschen zwar täuscht ihr, Gott aber könnt ihr nicht täuschen[6]). 4. Es geziemt sich, allen zwar wohlwollend zu sein, aber nur die Guten zu ehren und zu lieben. 5. Das Auge Gottes sieht auf[7]) die Gottlosen und die Frommen. 6. Wenn Greise reden, laßt uns schweigen; denn der Jugend geziemt Schweigen. 7. Die Kinder sollen ihre Eltern lieben und ehren. 8. Die Athener ehrten ihren Gesetzgeber Solon wegen[5]) seiner Weisheit sehr hoch (am meisten). 9. Zeus wird wohl[6]) keinem Menschen alle Pläne erfüllen (beendigen). 10. Wer wagt, gewinnt (siegt).

11. Alles Gute erwerben die Menschen durch Mühen. 12. Von Bessern sich besiegen zu lassen, ist nicht unrühmlich (schimpflich). 13. Von den Alten wurden die Dichter als (wie) Herolde und Dolmetscher der Götter geehrt. 14. Durch Adel[8]) [der Seele] dürftet[6]) ihr euch am

---

[1]) Vgl. St. 13, B, 5. [2]) in den olympischen Spielen. Gr. § 149 (134), 2. [3]) tu ipse. [4]) Gr. § 138 (117), A. 1. [5]) *ἐπί* m. Dat. [6]) Regel 22. [7]) *ἐπί* m. Acc. [8]) *ἡ γενναιότης, ητος.*

ehesten edle Freunde erwerben. 15. Odysseus irrte zehn Jahre auf dem Meere umher wegen des Zornes des Poseidon. 16. Auch den besten Ärzten ist es unmöglich[1]), alle Krankheiten zu heilen. 17. Warum[2]) schwiegst du, als du von deinem Vater gefragt wurdest? 18. Ohne die [Hülfe der] Götter dürfte[3]) das Heer der Feinde nicht besiegt werden. 19. Die Barbaren unterlagen den Griechen in sehr vielen Schlachten. 20. Wenn wir uns treue Freunde erwerben, erwerben wir uns Schätze. 21. Wenn doch immer das Recht siegte und das Unrecht unterläge!

61. Verba auf -έω.

A. 1. *Ἀνὴρ χρηστὸς χρηστὸν οὐ μισεῖ.* 2. *Ὤικουν οἱ Φοίνικες ἐν πάσῃ τῇ Σικελίᾳ.* 3. *Χρὴ ἕκαστον ἄνδρα τάξαι, ὅπου*[4]) *μάλιστ' ἂν ὠφελοίη.* 4. *Ὁ ἄκων ἀδικῶν συγγνώμης ἄξιός ἐστιν.* 5. *Τὰς πόλεις δεῖ κοσμεῖν οὐκ ἀναθήμασιν, ἀλλὰ ταῖς τῶν ἐνοικούντων ἀρεταῖς.* 6. *Μάλιστ' ἂν εὐδοκιμοίης*[5]), *εἰ ταῦτα μὴ ποιοίης, ἃ ἄλλοις ποιοῦσιν ἂν ἐπιτιμῴης.* 7. *Τῶν καλῶν ἔργων ἐπιθυμοῦσι μὲν πολλοί, ὀλίγοι δὲ τολμῶσι ψαύειν.* 8. *Εἴθε πάντες οἱ πολῖται τὴν πατρίδα φιλοῖεν.* 9. *Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν*[6]) *εὐτυχῇ.* 10. *Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.*

11. *Ψυχῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι.*

12. *Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός.*

13. *Μὴ ἐπὶ παντὶ λυποῦ.* 14. *Ἃ φοβῇ, θᾶττον ἂν γίγνοιτο ἢ ἃ ἐλπίζεις.* 15. *Οἱ βάρβαροι ὑπὸ τῶν Ἑλλήνων κατεφρονοῦντο.* 16. *Οἱ ἀγαθοὶ ἄγαν ἐπαινούμενοι μισοῦσι τοὺς ἐπαινοῦντας.* 17. *Τίμα θεόν, γονέας αἰδοῦ*[7]), *κακοῖς μὴ ὁμίλει.* 18. *Τὸν ἀγαθὸν δεῖ πρᾶον εἶναι, ἵνα οἱ ὁμιλοῦντες αἰδῶνται*[7]) *μᾶλλον ἢ φοβῶνται.* 19. *Μιμοῦ τὰ σεμνά, μὴ μιμοῦ κακοὺς τρόπους.* 20. *Μέγιστος ἔπαινός ἐστιν ἐπαινεῖσθαι ὑπ' ἀνδρὸς πολλάκις ἐπαινουμένου.* 21. *Μηδεὶς φοβείσθω θάνατον, ἀπόλυσιν*[8]) *κακῶν.* 22. *Τὸ κέρδος ἡγοῦ κέρδος, ἐὰν δίκαιον ᾖ.* 23. *Τοῖς μὲν ἀδικουμένοις ἀεὶ βοηθεῖτε, τοὺς δ' ἀδικοῦντας τιμωρεῖσθε.*

24. *Πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.*

25. *Τοὺς προδότας πάντες οἱ ἄνθρωποι μισοῦσι καὶ τιμωροῦνται.* 26. *Τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.* 27. *Φιλοῦντες*

---

[1]) mit *ἀδύνατος*, oder nach Regel 22. [2]) *τί;* [3]) Regel 22. [4]) wo. [5]) *εὐδοκιμέω* stehe in gutem Rufe, werde, bin geachtet. Regel 22. [6]) *κἂν* = *καὶ ἐάν*. Gr. § 23, 2. c. (18, 2). [7]) *αἰδέομαι* scheue, ehre. [8]) *ἡ ἀπόλυσις* die Erlösung.

μὲν φιλούμεθα, μισοῦντες δὲ μισούμεθα. 28. *Ὁμιλίας (δὲ) τὰς γεραιτέρας φίλει.* 29. *Πιστους ἡγοῦ μὴ τοὺς πάντα, ἃ ἂν λέξῃς*[1]*), ἐπαινοῦντας, ἀλλὰ τοὺς ἐπιτιμῶντας ἁμαρτήμασιν.* 30. *Οἱ τῶν ἀδελφῶν ἀμελοῦντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τῆς μὲν ἰδίας γῆς ἀμελοῦσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν*[2]*).* 31. *Πολλοὶ τὰ καλῶς λεχθέντα ἢ πραχθέντα διὰ φθόνον οὐκ ἐπαινοῦσιν.*

32. *Γλώττης μάλιστα πανταχοῦ*[3]*) πειρῶ κρατεῖν.*

B. 1. Mißtraue dem Reichtum! 2. Orpheus bewegte durch seinen Gesang Felsen und Bäume. 3. Die Wahrheit liebt, die Lüge aber haßt das Licht. 4. Glück[4]) macht Mut[4]). 5. Die Geschosse der Barbaren drangen (gingen) durch unsere Schilde. 6. Laßt uns das Vaterland mehr lieben als Weiber und Kinder! 7. Reichtum allein kann[5]) niemand glücklich machen. 8. Im kleinsten Hause wohnen oft die glücklichsten Menschen. 9. Die Stadt der Athener beherrschte viele Völker, Städte und Inseln. 10. Der Glückliche[6]) soll dem Unglücklichen[6]) helfen.

11. Im Frühling schmückt sich die Erde mit Blumen aller Art. 12. Jeder Bürger soll erwägen, wie[7]) er dem Vaterlande wohl am meisten nützen könnte[5]). 13. O Söhne, fürchtet die Schande mehr als den Tod! 14. Wer Unrecht thut[6]), ist unglücklicher, als wer Unrecht leidet[6]). 15. Schmücket euch mehr die Seelen als die Leiber, und strebet mehr nach Weisheit als nach Gold und Silber! 16. Bei Platää führte Pausanias die Spartaner, Aristides aber die Athener. 17. Mutige Soldaten fürchten den Tod nicht. 18. Wie[7]) möchten die Menschen wohl[5]) am wenigsten Unrecht thun und (Unrecht) erfahren? 19. Wenn ein Blinder führt, laufen alle Gefahr. 20. Kyros wurde von seiner Mutter mehr geliebt als sein Bruder.

21. Durch Liebe[6]) werdet ihr euch Freunde erwerben, durch Haß[6]) aber Haß. 22. Wer den Freunden im Unglück[6]) nicht hilft, ist treulos. 23 Verkehre nicht [mit] denen, die Unrecht thun[6])! 24. Wer die Schläge spart, haßt seinen Sohn. 25. Versuchet eure Feinde durch Wohlthaten zu besiegen! 26. Leicht kann[5]) Gott die Großen und Reichen klein und arm machen.

27. Wir wollen trauen auf den höchsten[8]) Gott,
und uns nicht fürchten vor der Macht der Menschen!

---

[1]) Regel 24, b. [2]) *γεωργέω* bebaue das Land. [3]) überall. [4]) Inf. m. Art.; Reg. 28. [5]) Regel 22. [6]) Part. [7]) *πῶς*. [8]) größten.

62. Verba auf -όω.

A. 1. Ὁ χρόνος πάντα τὰ ἄδηλα δηλοῖ. 2. Ὧν τὰς δόξας ζηλοῖς, τὰς πράξεις μιμοῦ. 3. Ὃν ἂν θεὸς φιλῇ, ζημιοῖ. 4. Ἀλέξανδρος θεὸς νομισθῆναι ἠξίου. 5. Τοὺς νόμους τῆς πόλεως μάλιστ' ἂν ψυχῇ ἀνθρώπου ὁμοιοίης. 6. Παρὰ τοῖς Ἕλλησι θέμις ἦν[1]) τοὺς δούλους μαστιγοῦν. 7. Μὴ δῆλον μηδὲ[2]) οἰκειοτάτῳ, ἃ ἂν βούλῃ κρύπτεσθαι. 8. Αἴσωπος ἐρωτηθείς, τί[3]) δρᾷ Ζεύς· „Τὰ μὲν ὑψηλά," ἔφη, „ταπεινοῖ, τὰ δὲ ταπεινὰ ὑψηλοῖ"[4]). 9. Μὴ τῶν ἴσων ἀξιοῦτε τόν τε κακὸν καὶ τὸν ἀγαθόν.

10. Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.

11. Μὴ ζημίου θυμούμενος. 12. Μὴ θυμοῦ δικαίως ζημιούμενος. 13. Ἡ Ἀττικὴ ὑπὸ τῶν Πελοποννησίων πολλάκις ἐδῃοῦτο. 14. Οἱ Ἕλληνες ἐστεφανοῦντο μέλλοντες θύσειν. 15. Ὃς ἂν ἄνθρωπον φονεύσῃ, θανάτῳ ζημιούσθω. 16. Οὐκ ἂν δικαίως τῶν ἴσων ἀξιοῖντο ὅ τε ἀγαθὸς καὶ ὁ κακός. 17. Μὴ ὑποχώρει τοῖς πάθεσιν, ἀλλ' ἐναντιοῦ. 18. Ἡ τῶν Ἑλλήνων ἀνδρεία ἐβεβαιοῦτο ἐν τοῖς πρὸς τοὺς Πέρσας πολέμοις. 19. Μὴ πίστευε ἀνθρώποις, ἀλλὰ μόνῳ τῷ θεῷ, ἵνα μήτε[5]) μέγα φρονῇς εὐτυχῶν μήτε ταπεινοῖ δυστυχῶν. 20. Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.

21. Μετὰ τὴν Τισσαφέρνους προδοσίαν[6]) Ξενοφῶν ἔλεξε πρὸς τοὺς στρατιώτας· „Πολλαὶ καὶ καλαί εἰσιν ἡμῖν[7]) ἐλπίδες σωτηρίας· ἡμεῖς[8]) μὲν γὰρ ἐμπεδοῦμεν[9]) τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε καὶ τὰς σπονδὰς λελύκασιν· οὕτως εἰκός ἐστι[10]) τοῖς μὲν πολεμίοις ἐναντιοῦσθαι τοὺς θεούς, ἡμῖν[7]) δὲ βοηθεῖν, οἳ καὶ τοὺς μεγάλους μικροὺς ἂν ποιοῖεν καὶ τοὺς μικρούς, καὶ ἐὰν ἐν κινδύνοις ὦσιν, ῥᾳδίως ἂν σῴζοιεν, ὅταν βούλωνται."

B. 1. Wohlwollen befestigt das Vertrauen. 2. Wer seine Kinder liebt, der strafe sie. 3. Das Heer lagerte in den Dörfern der Parysatis. 4. Eifert immer den Besten und Gerechtesten nach! 5. Die Gesetze strafen nicht nur die Übelthäter, sondern sie helfen auch den Guten. 6. Oft [schon] hat ein kleines Wort Unglückliche aufgerichtet. 7. Die Sonne bringt alles an den Tag[11]). 8. Dichter verglichen das Geschlecht der Menschen den Blättern der Bäume.

---

[1]) θέμις ἐστίν es ist erlaubt. [2]) μὴ . . . μηδὲ nicht einmal. Gr. § 223 (202), 5. [3]) quid. [4]) ὑψηλόω erhöhe. [5]) Regel 26. [6]) ἡ προδοσία der Verrat. [7]) nobis. [8]) nos. [9]) ἐμπεδόω halte treulich. [10]) es ist natürlich. [11]) offenbart.

9. Oft wird nur durch Krieg der Friede befestigt. 10. Die Spartaner bekränzten sich vor der Schlacht die Häupter. 11. Durch Gold wird wohl[1]) der Sinn der Menschen am meisten geknechtet. 12. Bei den Alten wurden die im Kriege Unterliegenden von den Siegern meist zu Sklaven gemacht. 13. Die Knaben der Lakedämonier wurden an den Altären der Artemis gegeißelt. 14. In Sparta wurde, wer Gold oder Silber besaß, bestraft. 15. Wer Unrecht thut, soll nach dem Gesetze bestraft werden. 16. Wenn die Stolzen[2]) gedemütigt werden, offenbart sich die Gerechtigkeit der Götter.

Pronomina.

63. Das Personalpronomen nebst *αὐτός, ἄλλος, ἀλλήλων.* Gr. § 66. 68. 69 (61. 62).

A. 1. *Θεὸς ἡμῶν πάντων πατήρ.* 2. *Ἡμᾶς οὐ πείσετε ὑμεῖς.* 3. *Ἐγὼ μὲν σοῦ μείζων εἰμί, σὺ δ' ἐμοῦ ἰσχυρότερος εἶ*[3]). 4. *Τὰ δάκρυα ἡμῖν φάρμακά ἐστι λύπης καὶ κακῶν.* 5. *Ἄλλοις ἄλλα*[4]) *φίλα ἐστίν· ἡμᾶς μὲν τὰ ἡμέτερα εὐφραίνει, ὑμᾶς δὲ τὰ ὑμέτερα.* 6. *Ὁ τοῖς ἄφροσι πιστεύσας αὐτὸς ἄφρων νομισθήσεται.* 7. *Ὀλίγοι τῶν ἀνθρώπων ἐν εὐτυχίᾳ καὶ ἀτυχίᾳ οἱ αὐτοί εἰσιν.* 8. *Ἀλεξάνδρου τετελευτηκότος οἱ στρατηγοὶ ἀλλήλοις ἐπολέμησαν.* 9. *Τοῖς τῶν αὐτῶν γονέων παισὶ πολλάκις οὐχ οἱ αὐτοὶ τρόποι εἰσίν.* 10. *Οὐδεὶς κόσμος οὔτε ἡμῖν οὔτε ἄλλοις ἀνθρώποις καλλίων τῆς ἀρετῆς ἐστιν.* 11. *Σῴζει ὁ θεὸς σὲ καὶ ἐμὲ καὶ ἡμᾶς πάντας ἐν κινδύνοις.* 12. *Τῆς αὐτῆς ἡμέρας περὶ τῶν αὐτῶν ἐνίοτε οὐ ταὐτὰ ἐψηφίσαντο οἱ Ἀθηναῖοι.* 13. *Ἐν ἐμοὶ καὶ σοὶ καὶ ἡμῖν πᾶσιν ἀθάνατος ψυχή ἐστιν.* 14. *Θεμιστοκλῆς ἔλεξεν, αὐτοὺς τοὺς θεοὺς κωλῦσαι τὸν Ξέρξην τοῦ βασιλεῦσαι καὶ τῆς Ἀσίας καὶ τῆς Εὐρώπης.* 15. *Ἰσοκράτης πρὸς Ἁρμόδιον, τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἔκγονον, δυσγένειαν*[5]) *αὐτῷ ὀνειδίσαντα· „Τὸ μὲν ἐμόν," ἔφη, „γένος ἀπ' ἐμοῦ ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύσεται."* 16. *Κέρδος μή σε νικῴη.*

17. *Πολλοὶ κακῶς πράττουσιν, οὐ σὺ δὴ*[6]) *μόνος.*
18. *Τῶν πόνων*[7]) *πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.*

B. 1. Wir alle müssen sterben. 2. Auf euch, ihr Jünglinge, beruht (ist) die Hoffnung des Vaterlandes. 3. Die Tiere bekriegen einander. 4. Mein Leben ist mir so lieb, wie dir das deine. 5. Alle

[1]) Regel 22. [2]) Part. [3]) du bist. [4]) aliis alia. [5]) niedrige Herkunft. [6]) also. [7]) um die Mühsale; Gen. pretii. Gr. § 163 (148).

Menschen sind einander verwandt. 6. Dein Freund weiß (hat) mir vielen Dank, daß ich ihm vertraute. 7. Ein gerechter Richter urteilt über dieselben [Dinge] immer dasselbe. 8. Das Vaterland ist die gemeinsame Mutter von uns allen. 9. Wann werden die Menschen aufhören, einander zu betrügen[1])? 10. In demselben Jahre wurden die Athener von den Tyrannen und die Römer von den Königen befreit. 11. Nicht alle Menschen haben dieselben Gesetze, und dieselben Menschen haben nicht immer dieselben Sitten. 12. Allen Menschen legt Gott Mühsale auf[2]), den einen diese, den andern jene[3]).

64. Reflexivpronomen. Gr. § 67 (63).

A. 1. *Κράτησον σεαυτοῦ.* 2. *Ὁ ἀγαθὸς ἀνὴρ δίκαιον παρέχει ἑαυτὸν ἑκάστῳ.* 3. *Οὐδὲν οὕτως ἡμέτερόν ἐστιν ὡς ἡμεῖς ἡμῶν αὐτῶν.* 4. *Ἡ τύχη ἀεὶ βέλτιον ἡμῶν ἐπιμέλεται ἢ ἡμεῖς ἡμῶν αὐτῶν.* 5. *Οὐκ ἐλάχιστόν ἐστι σοφίας μέρος τὸ ἑαυτὸν γιγνώσκειν.* 6. *Ἡ ἀρετὴ αὐτὴ ἑαυτῇ κάλλιστος μισθός ἐστιν.* 7. *Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει.* 8. *Σύμπραττε σαυτῷ, καὶ συμπράττει σοι θεός.* 9. *Ἑαυτὸν μὲν νικῆσαι καλλίστη νίκη ἐστίν, ἑαυτοῦ δὲ ἡττηθῆναι αἴσχιστον.* 10. *Ἐὰν λέγωμεν, ὅτι ἁμάρτημα οὐκ ἔχομεν, πλανῶμεν ἡμᾶς αὐτούς, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν*[4]) *ἐν ἡμῖν.* 11. *Ἀστυάγης ἑαυτὸν τῶν ἐν Μήδοις πάντων δεσπότην πεποίηκεν.* 12. *Τοῖς νόμοις δουλεύσατε, ἵνα μὴ*[5]) *τραχυτέροις δεσπόταις ὑμᾶς αὐτοὺς μισθῶτε.*

13. *Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν.*

B. 1. Liebe deinen Nächsten[6]) wie dich selbst! 2. Trauet euch selbst nicht allzusehr! 3 Wir sehen die Fehler an (in) andern besser als an uns selbst. 4. Viele Menschen gönnen[7]) weder sich noch andern ein Vergnügen. 5. Wir alle kennen uns selbst am wenigsten. 6. Die Lykier nannten sich (selbst) nach[8]) den Müttern, nicht wie wir nach[8]) den Vätern. 7. Kleopatra nannte sich selbst Königin der Könige. 8. Nicht für euch nur bestandet ihr viele Gefahren zu[9]) Wasser (Meer) und zu[9]) Lande, o Athener, sondern auch für die Freiheit von ganz Griechenland. 9. Am größten ist, wer sich selbst besiegt.

---

[1]) Part. [2]) *ἐπιτάττω*, Ind. Aor. [3]) aliis alios. [4]) Gr. § 112, 2, 2. d. (103, 3, 2). [5]) Regel 26. [6]) *ὁ πέλας*, indecl. (*πέλας* = prope). [7]) *ἐπιτρέπω.* [8]) *ἀπό.* [9]) *κατά* m. Acc.; S. 11, 8.

65. Demonstrativ- und Relativpronomina.
Gr. § 71, 1—5 u. 72, 1 (65 u. 66, 1).

A. 1. *Ἃ ἔχεις, παρὰ θεοῦ ἔχεις.* 2. *Τοῦτο μὲν σὺ λέγεις, παρ' ἡμῶν δὲ ἄγγελλε τάδε.* 3. *Ἥδε ἡ ἡμέρα μεγάλων κακῶν ἐστιν αἰτία πᾶσι τοῖς Ἕλλησιν.* 4. *Οἳ ἂν τῶν τιμῶν μετέχειν βούλωνται*[1]*, τούτους καὶ τοὺς κινδύνους δεῖ ὑπομένειν.* 5. *Τούτων αἴτιος Χαιρεφῶν ὅδε.* 6. *Ζηλωτοί εἰσιν οὗτοι, ὧν ὁ βίος ἐλεύθερός ἐστι μεγάλων συμφορῶν.* 7. *Ἐὰν ταύτην τὴν μάχην νικῶμεν, πάνθ' ἡμῖν*[2]*) πεποίηται.* 8. *Οὐδεὶς ἐν τῷ γήρᾳ ὁ αὐτός ἐστιν, ὅσπερ ἦν ἐν τῇ νεότητι.* 9. *Οὐκ ἂν φιληθείης ὑπὸ τούτων, οὓς ἐδούλωσας.* 10. *Εὐτυχοίης καὶ τυγχάνοις*[3]*, ὧν ἐπιθυμεῖς.* 11. *Οὓς αὐτοὶ πονηροτάτους νομίζετε πάντων, τούτοις πεπιστεύκατε.* 12. *Ἐν παντὶ πράγματι τούτοις μάλιστα πεισόμεθα, οὓς ἂν βελτίστους νομίσωμεν.* 13. *Ὃς ἂν μὴ ἐναντιῶται*[1]*ταῖς τῶν πονηρῶν ἐπιβουλαῖς, τοῦτον ὀρθῶς ἂν αἰτιῴμεθα ἢ κακίας ἢ δειλίας.*
14. *Ἃ ψέγομεν ἡμεῖς, ταῦτα μὴ μιμώμεθα.*

B. 1. Nicht diejenigen haltet für reich, welche vieles besitzen, sondern diejenigen, welche zufrieden sind[4]) mit dem, was sie haben! 2. In dieser Stadt gelten (sind) für alle dieselben Gesetze. 7. Ich traue meinen Augen mehr als den Worten jener Menschen. 4. Jene Städte sind uns die liebsten von allen. 5. Verkehrt [mit] denen, welche euch besser machen werden! 6. Hektor sagte zu seiner Gattin[5]): „Diese Hände schützen Ilion.“ 7. Nie werden wir denen trauen, welche Geschenke annehmen. 8. Willig gehorcht, o Bürger, den Gesetzen; denn auf diesen beruht[6]) eure Freiheit. 9. Worte derer vermögen am meisten, deren Worten[7]) auch Thaten folgen. 10. Trauet niemals denjenigen, deren Thaten[7]) und Worte einander nicht entsprechen[8])! 11. Der Tod wird uns alle von allen Übeln dieses Lebens befreien. 12. Wer seinen Bruder nicht liebt, den er sieht, wie[9]) sollte der wohl Gott lieben, den er nicht sieht?

66. Interrogativa und Indefinita. Gr. § 72, 2 u. 73 (66, 2. 3 u. 67).

A. 1. *Τί ἐστι πολεμιώτατον ἀνθρώποις; „Αὐτοὶ ἑαυτοῖς“.* 2. *Ἐθέλω παρὰ σοῦ ἀκοῦσαι, ἥντινα γνώμην ἔχεις περὶ τοῦ γήρως.*

---

[1]) Regel 24, b. [2]) von uns. [3]) *τυγχάνω* (m. Gen.: etwas) erlangen. [4]) *ἀγαπάω* m. Acc. [5]) *γυνή.* [6]) in diesen ist. [7]) im Gr.: deren den Worten; deren die Thaten. Gr. § 137 (66), 3. [8]) *ἁρμόττω.* [9]) *πῶς.* Regel 22.

3. *Διὰ τί ἐπαύσω τούτῳ τῷ ἀνθρώπῳ πιστεύων;* 4. *Οὕστινας ἂν ἔπαινος μὴ προτρέπῃ πρὸς ἀρετήν, τούτους οὐδὲ φόβος ἀποτρέψει τῶν αἰσχίστων ἔργων.* 5. *Τί ἐστι σωφροσύνη; „Ἡδονῶν τινων καὶ ἐπιθυμιῶν ἐγκράτεια.“* 6. *Ὅτῳ ἂν ἀρέσκῃ ἄλλους βλάψαι, βλάψει ἑαυτόν.* 7. *Τίνι ἂν μᾶλλον πιστεύοιμεν ἢ πατρὶ καὶ μητρί;* 8. *Πονηρὸν νόμιζε τοῦτον, ὅτου ἂν ἡ ψυχὴ ταχὺ πείθηται διαβολαῖς.* 9. *Ἅττα χαλεπὰ ἦν πάσχειν, ταῦτα ἡδέα ἐστὶ τῇ μνήμῃ.* 10. *Οἵτινες ἂν τῶν ἄλλων ἄρχειν βούλωνται, τούτους πρῶτον δεῖ αὐτοὺς ἑαυτῶν ἄρχειν.* 11. *Κεκώλυκάς τινα τῶν πράξεων, ὦ Αἰσχίνη, αἷς ἐκεῖνοι τὴν πόλιν ἔβλαπτον;* 12. *Περίανδρος ἐρωτηθείς, τί μέγιστον εἴη ἐν ἐλαχίστῳ· „Φρένες[1]) ἀγαθαί,“ ἔφη, „ἐν σώματι ἀνθρώπου.“* 13. *Ξενοφῶν πολλάκις ἐτεθαυμάκει, τίσι ποτὲ λόγοις[2]) Ἀθηναίους ἐπεπείκεσαν οἱ τοῦ Σωκράτους κατήγοροι, ὅτι ἄξιος εἴη θανάτου.*

14. *Μακάριος, ὅστις νοῦν ἔχων τιμᾷ θεούς.*
15. *Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;*

B. 1. Wenn Gott für uns ist, wer könnte[3]) wider[4]) uns sein? 2. Wer immer[5]) [an] göttliche Dinge glaubt, der muß auch [an] Götter glauben. 3. Leicht ist es zu gehorchen, wenn jemand etwas Vernünftiges befiehlt. 4. Welche Berge waren den[6]) Musen heilig? 5. Wer ist dein größter Feind? „Des Herzens (der Seele) böse Begierden.“ 6. Welchen von den griechischen Dichtern habt ihr am meisten bewundert? 7. Die Hoffnung auf irgend einen schlechten Gewinn ist schändlich. 8. Cäsar[7]) wollte lieber[8]) in irgend einem kleinen Dorfe der Erste sein als in Rom der Zweite. 9. Gewissen Menschen ist das Glück anderer eine Ursache des Neides. 10. Wem schulden wir nach[9]) Gott größern Dank als Eltern und Lehrern?

67. Korrelativa. Gr. § 74. 75 (68. 69).

(*τίς, ποῖος, πόσος — ποῦ, πότε, πῶς.*)

A. 1. *Πῶς ταῦτα παύσεται;* 2. *Ἦν ποτε χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν.* 3. *Τὰ ἄστρα ὥσπερ ὀφθαλμοί εἰσι τοῦ οὐρανοῦ.* 4. *Πότε, ὦ ἄνδρες Ἀθηναῖοι, πότε τὰ δέοντα[10]) ποιήσετε;* 5. *Ἧκεν Αἰσχίνης λέγων, ὅτι πεπεικὼς εἴη Φίλιππον*

[1]) *αἱ φρένες* der Verstand. [2]) hier: Grund. [3]) Regel 22. [4]) *κατά* m. Gen. [5]) *ὅς ἄν*, Regel 24, b. [6]) Gen. [7]) *Καῖσαρ, ος.* [8]) *μᾶλλον.* [9]) *μετά.* [10]) das Nötige, die Pflicht.

πάνθ', ὅσα συμφέρει τῇ πόλει. 6. *Ὁπόταν προσήκῃ πρᾶξαι, φείδου λόγων.* 7. *Οἱ πολῖται φροντιζόντων, ὁποῖα τῇ πόλει συμφέρει.* 8. *Οὗτός ἐστιν ἄριστος οἶκος, ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' ἑαυτόν, οἷος ἔξω διὰ τὸν νόμον.* 9. *Οὐ λογίζεσθε, τίνων καὶ οἵων καὶ ὅσων εὐεργεσιῶν θεοὶ ἡμῖν αἴτιοί εἰσιν;* 10. *Ἆγις ὁ βασιλεὺς ἔλεγε, τοὺς Λακεδαιμονίους οὐ τοῦτ' ἐρωτᾶν, ὁπόσοι εἰσὶν οἱ πολέμιοι, ἀλλ' ὅπου εἰσίν.* 11. *Πρῶτος ἡμῖν τετάχθω ὁ τοιοῦτος ἀνήρ.* 12. *Ὅσῳ δυνατώτερός τίς ἐστι, τοσούτῳ ῥᾷον εἰς ὕβριν πίπτει.* 13. *Ὅπου ἄν τις ἑαυτὸν τάξῃ, ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ κινδυνεύειν τοὺς ἐσχάτους κινδύνους.* 14. *Τὸ θεῖον τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾶν καὶ πάντ' ἀκούειν καὶ πανταχοῦ*[1]) *παρεῖναι.*

B. 1. Wie (beschaffen) der Herr, so der Knecht. 2. Nicht immer ist das Ende, wie der Anfang war. 3. Wie einer ist, solches wünscht und hofft er. 4. Viele sagen: „Wo immer[2]) es dir gut geht, da ist dein Vaterland." 5. Der (so beschaffene) Redner ist der beste, welcher in sehr wenigen Worten sehr vieles trefflich[3]) sagt. 6. Je seltener die Vergnügungen sind, desto mehr erfreuen sie. 7. Wie du gegen die andern bist[4]), so sind die andern gegen dich. 8. Werdet ihr es wagen, [mit] so vielen einen Kampf aufzunehmen[5])? 9. Wie Sokrates urteilte, so redete er auch. 10. Unser Arzt überlegt Tag und Nacht, wie er deinen Freund heilen wird. 11. Je größer das Glück, desto unsicherer[6]) ist es.

NB. Hier kann Nr. 87 gelesen werden.

68. Possessivpronomina. Gr. § 70 (64).

A. 1. *Νόμιζε τὰ ἐμὰ σὰ εἶναι.* 2. *Ἡ πόλις ἡμῶν ἀξία λόγου ἐστίν.* 3. *Τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις πάρεχε.* 4. *Διὰ τὴν ὑμετέραν ῥαθυμίαν*[7]) *ἔχουσιν οἱ πολέμιοι τὰ ἡμέτερα.* 5. *Μεγίστην σοι χάριν ὀφείλω, ὅτι μου τὴν μητέρα ἐθεράπευες.* 6. *Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα μετεπέμψατο καὶ τὸν παῖδα αὐτῆς.* 7. *Μᾶλλον πιστεύετε τοῖς ὑμετέροις ὀφθαλμοῖς ἢ τοῖς τούτου λόγοις.* 8. *Ἧκον παρ' Ἀριαῖον καὶ τὴν ἐκείνου στρατιάν.* 9. *Ξέρξης πρὸς Ἀρτάβανον· „Σῶζε," ἔφη, „τὸν οἶκον τόν τε ἐμὸν καὶ τὴν ἐμὴν ἀρχήν· σοὶ γὰρ μόνῳ ἐκ πάντων τὰ σκῆπτρα τὰ ἐμαυτοῦ ἐπιτρέπω."*

10. *Ἄλλων ἔπαινον μᾶλλον ἢ σαυτοῦ λέγε.*

---

[1]) überall. [2]) *ὅπου ἄν*, Regel 24, b. [3]) aufs schönste. [4]) *εἶ.* [5]) *πολεμέω*, Aor. [6]) *ἐπισφαλής*, 2. [7]) Leichtsinn, Sorglosigkeit.

B. 1. Ich bewundere meinen Vater — deinen Vater — seinen Vater. 2. Er liebt deine (seine, unsere, eure) Heimat. 3. Wir betrachten dein (sein, unser, ihr) Haus (eius, eorum, earum domum). 4. Sie lobt unsere Stadt, ihre Stadt (suam, eius, eorum, earum urbem). 5. Sie üben unsere Söhne, ihre (eigenen) Söhne.

6. Möge Gott uns und unser Vaterland schützen! 7. Bei unsern Vorfahren waren die Worte zuverlässiger als jetzt die Eide. 8. Gott sorgt für uns wie ein Vater für seine Kinder. 9. Teuer[1]) ist mir immer das Andenken an[2]) dich, o Mutter! 10. Die Menschen sind oft selbst an ihrem Unglück schuld. 11. Jeder hält seine eigene Arbeit für schwieriger als die der andern. 12. Bleibet stets dieselben, eure eigene Natur bewahrend, wie das Gold im Feuer!

NB. Es sind immer alle Übersetzungsarten zu geben.

69. Xerxes und Artabanus.

Ξέρξης εἰς τὴν Ἑλλάδα πορευόμενος, ἐπεὶ ἐν Ἀβύδῳ ἦν, πᾶν τὸ στράτευμα, τό τε πεζὸν καὶ τὸ ναυτικόν, ἐθεᾶτο, θεώμενος δὲ ἐπεθύμησε τῶν νεῶν ἅμιλλαν[3]) *ὁρᾶν. Ἐπειδὴ δὲ ἡμιλλῶντο καὶ Φοίνικες Σιδώνιοι*[4])*, ἥσθη τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιᾷ. Ὡς δὲ ἔβλεπε πάντα μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν κεχρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία πλήρη ἀνθρώπων, ἐμακάρισεν ἑαυτόν, μετὰ δὲ τοῦτο ἐδάκρυσεν. Ὁρῶν δὲ αὐτὸν Ἀρτάβανος ὁ τοῦ πατρὸς ἀδελφὸς δακρύοντα ἠρώτησε τάδε· „Ὦ βασιλεῦ, ὡς πολὺ ἀλλήλων διαφέροντα ἐποίησας νῦν τε καὶ ὀλίγον πρότερον; μακαρίσας γὰρ σεαυτὸν δακρύεις.“ Ὁ δὲ ἔλεξεν· „Εἰσῆλθε*[5]) *γάρ με κατοικτῖραι λογισάμενον, ὡς*[5]) *βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ὄντων τοσούτων οὐδεὶς εἰς ἑκατοστὸν ἔτος περιέσται“*[6]). *Ὁ δὲ ἔλεξεν· „Ἕτερα ἐν τῷ βίῳ ἡμῖν γίγνεται οἰκτρότερα· ἐν γὰρ οὕτω βραχεῖ βίῳ οὐδεὶς ἄνθρωπος οὕτως εὐδαίμων πέφυκεν*[7])*, οὔτε τούτων οὔτε τῶν ἄλλων, ὅστις*[8]) *οὐ πολλάκις μᾶλλον αἱρήσεται*[9]) *τετελευτηκέναι ἢ βιοτεύειν. Αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι καὶ αἱ νόσοι ταράττουσαι τὸν βίον, καίπερ βραχὺν ὄντα, μακρὸν*

---

[1]) wertvoll, Superl. [2]) Gen. [3]) *ἡ ἅμιλλα* der Wettkampf; *ἁμιλλάομαι* wettkämpfe. [4]) die Phöniker aus Sidon. [5]) es überkam mich zu bemitleiden, es erfaßte mich Mitleid, da ich überlegte, wie ... [6]) am Leben sein wird (*περί-ειμι*). [7]) siehe S. 37, 8. [8]) Gr. § 210, 4. A. (188, 3. b.). [9]) *μᾶλλον αἱρέομαι* ziehe vor.

δοκεῖν εἶναι ποιοῦσιν. Οὕτως ὁ μὲν θάνατος, ἐπεὶ μοχθηρά ἐστιν ἡ ζωή, καταφυγὴ γίγνεται αἱρετωτάτη[1]) τῷ ἀνθρώπῳ, ὁ δὲ θεός, γλυκὺν γεύσας[2]) τὸν αἰῶνα, φθονερὸς ἐν αὐτῷ φαίνεται[3]) ὤν."

70. Krösus und Solon.

Ἐπειδὴ Κροῖσος, ὁ τῶν Λυδῶν βασιλεύς, πάντα τὰ ἔθνη τὰ ἐντὸς Ἅλυος ποταμοῦ οἰκοῦντα κατεστρέψατο, ἧκον εἰς Σάρδεις ἄλλοι τε τῆς Ἑλλάδος σοφοὶ ἄνδρες καὶ δὴ καὶ[4]) Σόλων, ἀνὴρ Ἀθηναῖος. Οὗτος Ἀθηναίοις κελεύσασι νόμους γράψας ἀπεδήμησεν ἔτη δέκα, λόγῳ μέν[5]), τὰς τῶν ἄλλων ἀνθρώπων χώρας θεωρήσων, ἔργῳ δέ[5]), ἵνα μή τινα τῶν νόμων ἀναγκασθείη λῦσαι, οὓς ἔγραψεν· αὐτοὶ γὰρ οὐχ οἷοί τε ἦσαν τοῦτο ποιῆσαι οἱ Ἀθηναῖοι· ὅρκοις γὰρ μεγάλοις ὑπεδέξαντο[6]) δέκα ἔτη φυλάξειν τοὺς νόμους, οὓς ἂν Σόλων ποιήσῃ. Τούτων οὖν ἕνεκα Σόλων ἀποδημήσας ἐπορεύθη εἰς Αἴγυπτόν τε παρ' Ἄμασιν καὶ δὴ καὶ[4]) εἰς Σάρδεις παρὰ Κροῖσον.

Ἥκων δὲ λαμπρῶς ἐξενίζετο ἐν τοῖς βασιλείοις ὑπὸ Κροίσου· μετὰ δὲ ταῦτα, ἡμέρᾳ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυρούς, ἵνα θεάσαιτο πάντα, μεγάλα ὄντα καὶ ὄλβια. Θεασάμενον δ' αὐτὸν πάντα ἠρώτησε Κροῖσος τάδε· „Ὦ ξένε Ἀθηναῖε, ἠκούσαμέν σε πάντων τῶν Ἑλλήνων διαφέροντα σοφίᾳ καὶ πορευόμενον διὰ πολλῶν χωρῶν τε καὶ πόλεων, ἵνα θεωρῇς καὶ γιγνώσκῃς τοὺς τῶν ἀνθρώπων τρόπους. Νῦν οὖν ἐπιθυμῶ ἀκοῦσαι, ὅντινα πάντων ἀνθρώπων ὀλβιώτατον εἶναι νομίζεις". Ὁ μέν, νομίζων αὐτὸς εἶναι ὀλβιώτατος ἀνθρώπων, ἠρώτα ταῦτα, Σόλων δὲ λέγει· Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον." „Τί δή[7]) κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;" Ὁ δὲ ἔλεξε· „Τέλλῳ πρῶτον μέν, τῆς πόλεως εὐτυχούσης, ἦσαν παῖδες καλοὶ κἀγαθοί, καὶ τέκνα τῶν παίδων, καὶ πάντες εὐδαίμονες ὡς τὰ παρ' ἡμῖν[8]). Ἔπειτα δέ, μετὰ βίον παντάπασιν εὐτυχῆ, καὶ ὁ θάνατος λαμπρότατος ἦν· πολεμούντων γὰρ τῶν Ἀθη-

---

1) *αἱρετός*, 3. erwünscht. 2) *γεύω* lasse kosten. 3) *φαίνομαι* m. Part.: ich erweise mich als ... 4) *καὶ δὴ καί* als (und) besonders auch. Gr. § 225 (204), 19. 5) *λόγῳ μέν* — *ἔργῳ δέ* unter dem Vorwand — in der That aber. 6) *ὑποδέχομαι* verpflichte mich. 7) warum denn? 8) nach unserm Maßstab, nach unsern Begriffen, Verhältnissen.

ναίων πρὸς τοὺς ἀστυγείτονας[1]) ἐν Ἐλευσῖνι στρατευσάμενος καὶ νικήσας τοὺς πολεμίους κάλλιστα ἐτελεύτησεν· τελευτήσαντα δ' αὐτὸν οἱ Ἀθηναῖοι δημοσίᾳ[2]) ἔθαψαν καὶ ἐτίμησαν μεγάλως.“

Ὡς δὲ ταῦτα περὶ τοῦ Τέλλου ἐξηγήσατο[3]) τῷ Κροίσῳ, οὗτος ἐπηρώτησε, τίς δὴ δεύτερος μετ' ἐκεῖνον εἴη, ἐλπίζων, δεύτερός γε[4]) μετὰ τὸν Τέλλον εἶναι. Ὁ δὲ ἔλεξε· „Κλέοβις καὶ Βίτων. Τούτοις γάρ,“ ἔφη, „Ἀργείοις[5]) οὖσι τὸ γένος βίος[6]) ὑπῆρχεν ἱκανὸς καὶ πρὸς τούτῳ[7]) ῥώμη σώματος θαυμαστὴ καὶ καλὸς θάνατος. Οὔσης γὰρ ἑορτῆς τῇ Ἥρᾳ τοῖς Ἀργείοις, ὅπου νόμος ἦν, τὴν μητέρα αὐτῶν ἐφ' ἁμάξης κομισθῆναι εἰς τὸ ἱερόν, ὡς οἱ βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίγνοντο ἐν καιρῷ, οἱ νεανίαι αὐτοὶ τὴν ἅμαξαν ἦγον, ἐπὶ τὸ ἱερὸν ἀπέχον σταδίους πέντε καὶ τετταράκοντα τῆς πόλεως τὴν μητέρα διακομίζοντες[8]). Ταῦτα δ' αὐτοῖς ποιήσασι καὶ θαυμασθεῖσιν ὑπὸ πάντων Ἀργείων εἶτα καὶ ἡ τελευτὴ τοῦ βίου ἦν ἀρίστη· καὶ ἐμήνυσεν ἐν τούτοις ὁ θεός, ὅτι πολὺ ἄμεινων ἐστὶ τῷ ἀνθρώπῳ ὁ θάνατος τῆς ζωῆς. Οἱ μὲν γὰρ Ἀργεῖοι παρόντες ἐμακάριζον τῶν νεανιῶν τὴν ῥώμην, αἱ δ' Ἀργεῖαι τὴν μητέρα, οἵων[9]) τέκνων ἐτύγχανεν. Ἡ δὲ μήτηρ, ἡδομένη τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, ἐν τῷ ἱερῷ ηὔξατο τῇ θεῷ, τοῖς υἱέσι παρέχειν, ὅ,τι ἀνθρώπῳ εἴη ἄριστον. Ὡς δὲ μετὰ ταύτην τὴν εὐχὴν ἔθυσαν οἱ νεανίαι, κατακοιμηθέντες[10]) ἐν αὐτῷ τῷ ἱερῷ ἐτελεύτησαν. Οἱ δὲ Ἀργεῖοι εἰκόνας[11]) αὐτῶν ποιησάμενοι ἐν Δελφοῖς ἱδρύσαντο, ὡς ἀνδρῶν καλῶν καὶ ἀγαθῶν.“

Σόλων μὲν δὴ τούτους δευτέρους μετὰ Τέλλον ὀλβιωτάτους ὠνόμασεν, ὁ δὲ Κροῖσος χαλεπαίνων· „Ὦ ξένε Ἀθηναῖε,“ ἔφη, „ἡ δ' ἡμετέρα εὐδαιμονία[12]) οὕτω σοι[13]) ἀπέρριπται εἰς τὸ μηδέν[14]), ὥστε οὐδ'[15]) ἰδιωτῶν ἀνδρῶν ἡμᾶς ἀξίους ἐποίησας;“ Ὁ δὲ ἔλεξεν· „Οὐκ ἄπειρον ὄντα τοῦ τῶν θεῶν φθόνου καὶ τῶν τοῦ βίου ταραχῶν[16]) ἠρώτησάς με περὶ ἀνθρωπίνων πραγμάτων. Ἐν γὰρ τῷ μακρῷ τοῦ βίου χρόνῳ πολλὰ πέμπουσιν οἱ θεοί, ἃ οὐδεὶς ἂν

---

1) *ἀστυγείτων = γείτων.* 2) von Staats wegen, auf öffentliche Kosten; vgl. S. 39, 10. 3) *ἐξ-ηγέομαι* führe aus, setze auseinander, erzähle. 4) *γέ* encl.: S. 52, 6. 5) *ὁ Ἀργεῖος* der Argiver. 6) hier: Lebensunterhalt. 7) dazu, außerdem. 8) *δια-κομίζω* bringe hin. 9) s. v. a. *ὅτι τοιούτων.* 10) *κατακοιμάομαι*, M. P., schlafe ein. 11) *ἡ εἰκών, όνος* das Bild, die Bildsäule. 12) *ἡ εὐδαιμονία* das Glück, der Wohlstand, Reichtum. 13) s. v. a. *ὑπὸ σοῦ* (Gr. § 168, 2. b. = 154, 2). 14) ist so ganz verschmäht. 15) *οὐδέ* nicht einmal. 16) *αἱ ταραχαί* die Verwicklungen, Wirren.

προγιγνώσκοι. Εἰς γὰρ ἑβδομήκοντα ἐνιαυτοὺς τὸν βίον ἀνθρώπου λογισαίμην ἂν εἶναι· οὗτοι δ' οἱ ἑβδομήκοντ' ἐνιαυτοὶ παρέχοιντ' ἂν ὡς[1]) πεντήκοντα καὶ πεντακοσίας καὶ πεντακισχιλίας καὶ δισμυρίας ἡμέρας. Τοσούτων δ' ἡμερῶν οὐσῶν ἡ ἑτέρα τῇ ἑτέρᾳ ἡμέρᾳ οὐδὲν ὅμοιον προσάγει πρᾶγμα. Οὕτως οὖν, ὦ Κροῖσε, ἄνθρωπος πάντως ἂν εἴη συμφορά[2]). Ἐμοὶ δὲ σὺ ἐν τῷ νῦν χρόνῳ καὶ μέγα πλουτεῖν δοκεῖς καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων. Ἐκεῖνο δέ, ὃ ἠρώτας με, οὔπω σὲ ἐγὼ λέγω, πρὶν ἂν καλῶς σε τελευτήσαντα ἀκούσω. Οὐ γὰρ ὁ μάλα πλούσιος ὀλβιώτερός ἐστι τοῦ ἐφ' ἡμέραν ἔχοντος, εἰ μὴ καὶ καλῶς τελευτήσει τὸν βίον. Πολλοὶ γὰρ πλουσιώτατοι ἄνθρωποι ἀνόλβιοί εἰσιν, πολλοὶ δὲ μετρίαν ἔχοντες οὐσίαν εὐτυχεῖς. Εἰ γάρ τις ὑγιής ἐστι καὶ ἄπηρος[3]) καὶ ἀπαθὴς[4]) κακῶν καὶ εὔπαις[5]) καὶ πρὸς τούτοις[6]) ἔτι τὸν βίον τελευτήσει εὖ, οὗτος ἂν εἴη ἐκεῖνος, ὃν σὺ ζητεῖς, ὄλβιος ὠνομάσθαι ἄξιος· πρὶν δ' ἂν τελευτήσῃ, οὔπω ὄλβιος ὀνομαστέος ἐστίν, ἀλλ' εὐτυχής[7]). Τὰ πάντα μὲν οὖν ταῦτα οὐδεὶς ἂν ἄνθρωπος ὢν συλλαμβάνοι[8]), ὥσπερ χώρα οὐδεμία πάντας φέρει καρπούς, ἀλλ' ἄλλους μὲν ἔχει, ἄλλων δὲ ἐστερημένη ἐστίν. Τῶν δ' ἀνθρώπων ὅστις ἂν πλεῖστα τῶν ἀγαθῶν ἔχῃ καὶ ἔπειτα τὸν βίον εὐχαρίστως[9]) τελευτήσῃ, οὗτος παρ' ἐμοὶ ὄλβιος ὠνομάσθαι ἄξιός ἐστιν. Σκοπεῖν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν· πολλοῖς γὰρ εὐτυχίαν ὀλίγον χρόνον πορίσας ὁ θεὸς ἔπειτα ἀτυχεστάτους ἐποίησεν.

Ταῦτα λέξαντα τὸν Σόλωνα ὁ Κροῖσος οὐδενὸς λόγου ἐποιήσατο[10]) καὶ ἀποπέμπει ὡς μάλα ἀμαθῆ[11]) ὄντα, ὃς τῶν παρόντων ἀγαθῶν καταφρονήσας τὴν τελευτὴν παντὸς χρήματος σκοπεῖν ἐκέλευεν.

Γνώμη.

Πολλοὶ μὲν πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται[12])·
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα[13])
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον[14]) ἀεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος[15]) ἔχει.

Σόλων.

---

[1]) ungefähr. [2]) ein Spiel des Zufalls. [3]) frei von Gebrechen. [4]) ohne gelitten zu haben, frei. [5]) glücklich in seinen Kindern. [6]) dazu, überdies. [7]) vom Glücke begünstigt. [8]) *συλ-λαμβάνω* erlange zusammen. [9]) auf erwünschte, glückliche Weise. [10]) *λόγον ποιεῖσθαι* der Beachtung würdigen. [11]) ungebildet, unverständig. [12]) *πένομαι* bin arm. [13]) *δι-αμείβομαί τινί τι* tausche mit einem etwas, *τινός* gegen etw. [14]) dauernd, fest. [15]) alias alius, bald dieser, bald jener.

Tempusbildung der Verba liquida.

71. Fut. Akt. und Medii. Gr. § 95, 1. 3 (83, 1. 3).

A. 1. *Ὁμονοοῦντες ἰσχυροὶ μενοῦμεν.* 2. *Τίς ἄμεινον τοῦ σοφοῦ κρινεῖ τὰ δίκαια;* 3. *Ὀργῆς λήξας*[1]) *κερδανεῖς ἀμείνω.* 4. *Πολέμου οὐκ ἀρξόμεθα, ἀρξαμένους δὲ ἀμυνούμεθα.* 5. *Τὴν πατρίδα ἐλπίζομεν εἰς τὸ ἔπειτα ἐλευθέραν νεμεῖσθαι.* 6. *Εὐφρανεῖ σε πλοῦτος πολλοὺς εὐεργετοῦντα.* 7. *Ἐθαύμαζον οἱ τῶν Ἑλλήνων στρατηγοί, ὅτι Κῦρος οὔτε ἄλλον πέμποι σημανοῦντα, ὅ,τι χρὴ ποιεῖν, οὔτε αὐτὸς φαίνοιτο.* 8. *Εἰ μὴ φυλάξεις τὰ μικρά, ἀποβαλεῖς τὰ μείζονα.* 9. *Μετὰ τὴν νίκην Λύσανδρος εἰς Λακεδαίμονα τοὺς τὴν νίκην ἀγγελοῦντας ἔπεμψεν ἐπὶ τῆς κρατίστης νεώς.*

10. *Δοῦλον τὸν ἐσθλὸν τοὔνομ'*[2]) *οὐ διαφθερεῖ,*
πολλοὶ[3]) *δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.*

11. *Ἀεὶ λέγων τἀληθὲς οὐ σφαλῇ ποτε.*

B. 1. Frage, und ich werde antworten. 2. Wenn der Leib gesund ist, wird auch die Seele gesund sein. 3. Wer sich vor[4]) sich selbst nicht schämt, wird sich auch vor[4]) andern nicht schämen. 4. Wenn ihr den Gesetzen nicht gehorcht, werdet ihr die Freiheit zerstören. 5. Sorget dafür, daß[5]) ihr an[4]) den Seelen rein werdet (euch reinigt). 6. Wir stellten uns den Feinden entgegen, um uns zu verteidigen. 7. Wir werden uns niemals schämen, die Wahrheit zu sagen. 8. Am besten wirst du dich verteidigen, wenn du gerecht bist. 9. Den Leib werdet ihr töten, aber die Seele nicht. 10. Mit der Götter Hülfe[6]) werden wir die Angreifer[7]) abwehren.

72. Aor. Akt. und Medii. Gr. § 95, 2. 3 (83, 2. 3).

A. 1. *Ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε.* 2. *Ἡ τύχη διένειμεν ἄλλοις ἄλλα δῶρα.* 3. *Νικίας πάντα τὸν χρόνον οὐδὲν*[8]) *ἔσφηλε τὴν πόλιν.* 4. *Κρεῖττόν ἐστι μικρὰ εὖ ἢ μεγάλα κακῶς περᾶναι.* 5. *Παρμενίδης πρῶτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ*[9]). 8. *Εἴθε κακῶς διαφθείρειαν τοὺς κακοὺς οἱ θεοί.* 7. *Ἀθηνᾶ περιέστειλεν*[10]) *Ἡρακλέα πέπλῳ, ὃν αὐτὴ ὑφήνατο.* 8. *Ὅτῳ δοκεῖ ταῦτα, ἀνατει-*

---

[1]) *λήγω* höre auf, lasse ab, von etw. *τινός.* [2]) *τὸ ὄνομα.* Gr. § 23, 2. a. (18, 2). [3]) sc. *δοῦλοι.* [4]) Acc. [5]) *ὅπως* mit Ind. Fut. [6]) d. i. mit den G. [7]) *ἐπέρχομαι,* Part. [8]) in nichts, nicht. Gr. § 153 (138). [9]) *σφαιρο-ειδής,* 2. kugelförmig. [10]) *περι-στέλλω* umhülle.

νάτω τὴν χεῖρα. 9. *Τοὺς Τρῶας δέκα ἔτη ἀνδρείως ἀμυναμένους οὐ βία, ἀλλὰ δόλος ἔσφηλεν.* 10. *Ἀλέξανδρος ἀποθνήσκων οὐκ ἀπεφήνατο, τίνι καταλείποι τὴν ἀρχήν.* 11. *Θησεὺς τὴν ἐκ Τροιζῆνος*[1]) *εἰς Ἀθήνας φέρουσαν ὁδὸν καθῆραι λέγεται κακούργων.* 12. *Οὐδένα χρὴ μακαρίζειν, ἕως ἂν βιοτεύῃ, ἀλλ' ἀναμεῖναι, ἕως ἂν τὸν βίον περάνῃ.* 13. *Τίς οὐκ ἂν οἰκτίρειεν ἐσθλὸν ἄνδρα ἀτυχοῦντα;* 14. *Δημῶναξ ἐρωτήσαντός τινος, ποῖα νομίζοι εἶναι τὰ ἐν Ἅιδου· „Μεῖνον," ἔφη, „ἕως ἂν αὐτὸς θεάσωμαι, κἀκεῖθεν ἀγγελῶ σοι."* 15. *Κλεινὸν*[2]) *τὸ ἀπόφθεγμα*[3]) *Γοργοῦς, τῆς Κλεομένους θυγατρός· Διαφθερεῖ σε, ὦ πάτερ, ὁ ξένος, ἐὰν μὴ ὡς τάχιστα ἐκ τῆς οἰκίας ἀποστείλῃς.* 16. *Ἐπιτρέπω τῷ θεῷ κρῖναι περὶ ἐμοῦ, ὅπῃ*[4]) *ἐμοὶ ἄριστα ἂν εἴη.* 17. *Πολλάκις μικροὶ λόγοι ἔσφηλαν ἤδη καὶ ἀνώρθωσαν βροτούς.*

18. *Τόλμα σύ, κἄν*[5]) *τι τραχὺ νείμωσιν θεοί.*

B. 1. Ausführen[6]) ist besser als versprechen[6]). 2. Böse Gesellschaften verderben[6]) gute Sitten. 3. Orestes befleckte seine Hände mit dem Blute der Mutter. 4. Antworte bescheiden[7]), o Sohn, wenn[8]) ältere dich fragen[6]). 5. Oft bringt[6]) Unerfahrenheit die Menschen zu Fall[6]). 6. Die Hellenen begannen niemals ein Opfer, bevor sie sich gereinigt hatten[6]). 7. Nachdem Kadmus den Drachen getötet und die Zähne desselben gesät hatte, wuchsen[9]) Männer hervor. 8. Eteokles und Polyneikes töteten einander im Streit[10]) um die Herrschaft. 9. Apollo befahl den Athenern, sich mit einer hölzernen Mauer zu verteidigen. 10. Nachdem Xerxes ein zahlloses Heer gesammelt hatte, zog er gegen Griechenland zu Felde. 11. Was wohl dürfte die Eltern mehr erfreuen als das Glück der Kinder? 12. Hippias reizte[11]) den Darius zum Kriege gegen Athen. 13. Pythagoras erklärte[12]), daß die menschliche Seele unsterblich sei.

73. Die übrigen Tempora. Gr. § 96 (84).

(Mit Ausschluß der Tempora secunda.)

A. 1. *Ἠγγέλθη ὑπὸ Λυσάνδρου τὰ πεπραγμένα διὰ Θεοπόμπου τοῦ Μιλησίου εἰς Λακεδαίμονα.* 2. *Ὁ Νεῖλος ποταμὸς νήσους ἔχει πολλὰς διεσπαρμένας.* 3. *Τοὺς στρατιώτας ἄριστα ἐσταλμένους εἰς τὸν πόλεμον στελοῦμεν.* 4. *Ἀπέσταλκά σοι, ὦ Δημόνικε, τόνδε τὸν λόγον δῶρον.* 5. *Πολλάκις τῇ τύχῃ ἐσφάλμεθα.* 6. *Ξέρξης τὸ*

---

[1]) *ἡ Τροιζήν, ῆνος* die Stadt Trözen. [2]) berühmt, bekannt. [3]) der Ausspruch. [4]) wie. [5]) *κἄν = καὶ ἐάν.* [6]) Aor. [7]) *κοσμίως.* [8]) Reg. 24, a. [9]) *ἀνα-τέλλομαι.* [10]) Part. [11]) *παρ-οξύνω.* [12]) *ἀπο-φαίνομαι.*

Λεωνίδου σῶμα λελυμασμένον ἀνασταυρῶσαι[1]) *ἐπέταξεν.* 7. *Ὀρέστης, μεμιασμένος τῷ τῆς μητρὸς αἵματι, ἐν Δελφοῖς ἐκαθάρθη ὑπ' Ἀπόλλωνος.* 8. *Μὴ ἀναμείνωμεν, ἕως ἂν ἀγερθῶσιν οἱ πολέμιοι, ἀλλ' ἔτι διεσπαρμένοις αὐτοῖς ἐπιχειρῶμεν.* 9. *Ὁ τὴν ψυχὴν κεκαθαρμένος κάλλιστα κεκόσμηται.* 10. *Ὅστις τῶν Ἀθηναίων φανθείη ἐλαίαν ἐξορύξας, διακοσίαις μναῖς ἐζημιοῦτο.* 11. *Φίλιππος πολλὰς ἐλάμβανε πόλεις, ὧν τοὺς προστάτας νομῇ*[2]) *χρημάτων ἦν διεφθαρκώς.* 12. *Τοῖς Ἕλλησιν ἔθος ἦν, εἴ τις τῶν συγγενῶν τελευτήσειε, κεκάρθαι τὰς κόμας*[3]). 13. *Πηνελόπη τρία ἔτη ἐντάφιον*[4]) *ὑφαίνουσα τῷ Λαέρτῃ οὐκ ἐπέρανε τὸ ἔργον· νυκτὸς γὰρ ἔλυε τὰ ἡμέρας ὑφασμένα.* 14. *Ἀγγελθείσης τῆς ἐν Σικελίᾳ συμφορᾶς, οἱ Ἀθηναῖοι πολὺν μὲν χρόνον ἠπίστουν τοῖς ἀγγείλασιν· ἔπειτα δὲ ὀργισθέντες ἐκάκιζον*[5]) *τοὺς μάντεις, λέγοντες ἐσφάλθαι ὑπ' αὐτῶν.*

B. 1. Antworte mir: Was ist neues[6]) gemeldet worden? 2. Habt ihr die Trieren in den Pontus abgesandt? 3. Die meisten der königlichen Gräber in Ägypten sind jetzt zerstört. 4. Das Leben des Pausanias wurde durch schimpfliche Thaten befleckt. 5. Großes wird eher durch Weisheit als durch Macht vollendet werden. 6. Nachdem gemeldet worden war, daß sechzig Schiffe bei Kyzikus vernichtet worden seien, schickten die Lakedämonier Gesandte nach Athen wegen[7]) des Friedens. 7. Habe Scheu[8]) vor dir selbst, damit du dich nicht vor den andern schämest[8])! 8. Die Seele soll von Begierden gereinigt und mit Tugenden geschmückt sein. 9. Der Neid und die Habsucht[9]) haben vieler Menschen Sinn verdorben. 10. Noch ist nicht aller Tage Abend!

Tempora secunda.

74. Aor. II. Akt. und Med. Gr. § 97 (85).

Von unregelmäßigen Verben (§ 116—120 = 107—111) merke hier die Aor. II.:

ἔλιπον ich ließ, von *λείπω*. *ἔπεσον* ich fiel, von *πίπτω*.
ἔφυγον ich floh, von *φεύγω*. *ἀπ-έθανον* ich starb, v. *ἀπο-θνῄσκω*.
ἔλαβον ich nahm, von *λαμβάνω*. *ἦλθον* ich ging, kam, von *ἔρχομαι*.
ἐγενόμην ich wurde, von *γίγνομαι*.
ἀφ-ῑκόμην ich kam, von *ἀφ-ικνέομαι*.

---

1) *ἀνα-σταυρόω* schlage ans Kreuz. 2) *ἡ νομή* das Austeilen, die Verteilung. 3) *ἡ κόμη* das Haupthaar. 4) *τὸ ἐντάφιον* das Sterbekleid. 5) *κακίζω* schmähe. 6) neueres. 7) *περί*. 8) Aor. 9) *ἡ πλεονεξία*.

A. 1. *Αἴσχιστον ἦν Σπαρτιάτῃ τὴν τάξιν ἀπολιπεῖν καὶ ἐκ μάχης φυγεῖν.* 2. *Οἱ Ἕλληνες εἰσηγάγοντο θεοὺς ξένους*[1]) *ἐξ ἀλλοτρίων ἐθνῶν.* 3. *Οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.* 4. *Πέρσαις νόμος ἦν, ὁπότε βασιλεὺς ἀποθάνοι, ἀνομίαν εἶναι πέντε ἡμερῶν.* 5. *Μὴ σπεῦδε πλουτεῖν, μὴ γένῃ πένης ταχύ.* 6. *Δωριεὺς στρατευόμενος πρὸς τοὺς Συβαρίτας ἔπεσεν, ὅτι ταῦτα παρὰ τὰ μεμαντευμένα ἐποίησεν.* 7. *Μήτ' εὐτυχῶν τράπῃ πρὸς ῥᾳθυμίαν*[2]) *μήτ' ἀτυχῶν πρὸς ἀθυμίαν.* 8. *Τίνα ἂν γῆν μᾶλλον φιλοῖμεν ἢ τὴν πατρίδα τεκοῦσαν ἡμᾶς καὶ θρέψασαν.* 9. *Μὴ ἀναμείνωμεν, ἕως ἂν ἐμβάλωσιν*[3]) *οἱ ἡμέτεροι πολέμιοι εἰς τὴν ἡμετέραν χώραν, ἀλλὰ πορευθῶμεν ὡς τάχιστα εἰς τὴν πολεμίαν.* 10. *Μαχομένους δεῖ σκοπεῖν ἡμᾶς, ὅπως ὡς ἐλάχιστα μὲν τραύματα λάβωμεν, ὡς ἐλάχιστα δὲ σώματα ἀνδρῶν ἀποβάλωμεν.* 11. *Ξέρξης τοσαῦτα ἔθνη εἰς τὴν Ἑλλάδα ἤγαγεν, ὥστε τὰ ὕδατα ἐπέλιπε*[4]) *πινόμενα.* 12. *Διενείμαντο τὴν ἀρχὴν τῶν πάντων Ζεὺς καὶ Ποσειδῶν καὶ Πλούτων, ἐπεὶ παρὰ τοῦ πατρὸς παρέλαβον.* 13. *Ἀφικόμενοι πρὸς τὸν Ἀράξην ποταμὸν ηὕρισκον οἱ μύριοι κώμας πολλὰς μεστὰς σίτου καὶ οἴνου· ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο.* 14. *Ἐπεὶ οἱ πελτασταί, ὑπερβαλόντες τὰ ὄρη, ἔβλεψαν τὰς σκηνάς, τοὺς ὁπλίτας οὐκ ἔμειναν, ἀλλ' ἀνακραγόντες φερόμενοι*[5]) *ἦλθον ἐπὶ τὸ στρατόπεδον.* 15. *Δῆλον ἦν τοῖς Ἕλλησιν, ὅτι νικῶντες μὲν οὐδένα ἂν κατακάνοιεν, ἡττηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη.* 16. *Τῶν Περσῶν ἐγγὺς προσελθόντων Θεμιστοκλῆς ἔπεισε τοὺς Ἀθηναίους, ἀπολιπόντας τὴν πόλιν καταφυγεῖν εἰς τὰς ναῦς, παῖδας δὲ καὶ γυναῖκας ἀγαγέσθαι εἰς τὰς νήσους.* 17. *Κανσιανοί, Σκυθικὸν ἔθνος, τοὺς μὲν γιγνομένους θρηνοῦσι*[6]), *τοὺς δ' ἀποθανόντας μακαρίζουσιν.*

18. *Ποῖ*[7]) *νῦν φύγωμεν, ποῖ τραπώμεθ', ὦ φίλοι;*

B. 1. Gott sprach: „Es werde Licht!“ und es ward [Licht]. 2. Krankheiten könntest du wohl entfliehen, aber dem Tode zu entfliehen ist unmöglich. 3. Bei Chäronea verloren die Griechen ihre Freiheit für[8]) immer. 4. Wartet, bis wir zurückgekommen sein werden[9]). 5. Alle Perser, welche bei Salamis den Athenern entkommen waren[10]), gerieten (fielen) in die [Hände der] Ägineten. 6. Nach des Philippus Tode übernahm Alexander die Herrschaft. 7. Die Athener vertrieben den

---

[1]) hier Adj. [2]) *ῥᾳθυμία* Leichtsinn, Sorglosigkeit. [3]) *ἐμβάλλω* einen Einfall machen, einfallen. [4]) *ἐπιλείπω* gehe aus, versiege. [5]) *φέρομαι* eile. [6]) *θρηνέω* beklage. [7]) wohin? [8]) *εἰς*. [9]) Regel 23. 24. [10]) Aor.

Themistokles; er aber floh und kam zum Großkönig. 8. Die Feldherrn waren in Verlegenheit[1]), welchen Weg sie einschlagen[2]) sollten. 9. Die Griechen gelobten der Artemis, wie viele (der) Feinde sie getötet hätten[3]), so viele Ziegen der Göttin opfern [zu wollen]. 10. Mögen die Götter euch alle bewahren[4]) und unversehrt[5]) ins Vaterland führen[4])!

75. Aor. II. und Fut. II. Pass. Gr. § 98 (86).

A. 1. *Διόνυσος ἐν Νάξῳ, ὡς Νάξιοι λέγουσιν, ἐτάφη.* 2. *Πρὸ τοῦ ἔργου βουλεύου, ἵνα μὴ μωρὸς φανῇς.* 3. *Ἡ ψυχὴ τοῦ σώματος ἀπαλλαγεῖσα οὐ διαφθαρήσεται.* 4. *Τῇ ἀδικίᾳ οὐδεὶς ἂν τοσοῦτο βλαβείη, ὅσον ὁ ἀδικήσας.* 5. *Οἱ τῇ τύχῃ καὶ ταῖς ἐλπίσιν ἄγαν πεπιστευκότες ταχέως ἂν σφαλεῖεν.* 6. *Σοφίας ὁ καρπὸς οὔποτε φθαρήσεται.* 7. *Ὁ θεὸς τοῖς Θηβαίοις ἐμαντεύσατο, ὅτι οὐκ ἀπαλλαγήσοιντο τῆς Σφιγγός, πρὶν ἄν τις λύσῃ τὸ αἴνιγμα.* 8. *Γοργίας ὁ Λεοντῖνος*[6]) *πρεσβευτὴς εἰς Ἀθήνας ἀποσταλεὶς πολλὰ ἐθαυμάσθη ἐπὶ*[7]) *τῇ πειθοῖ.* 9. *Πτολεμαίου τοῦ βασιλέως κατασφαγέντος ὑπὸ Γαλατῶν, πᾶσα ἡ τῶν Μακεδόνων δύναμις κατεκόπη.* 10. *Οἱ Ἕλληνες ἡττηθέντες ἐν Χαιρωνείᾳ οὐκέτι ἐτόλμησαν ἀντιτάξασθαι τοῖς Μακεδόσιν, ἀλλὰ διεσπάρησαν εἰς τὰς ἑαυτῶν πόλεις.* 11. *Ἀλέξανδρος, ἐὰν ἄριστος φανῇ στρατηγός, οὐκ ἄριστος φανήσεται ἄνθρωπος.* 12. *Συλλεγέντων τῶν Ἑλλήνων εἰς τὸν Ἰσθμὸν καὶ ψηφισαμένων ἐπὶ Πέρσας στρατεῦσαι, Ἀλέξανδρος ἡγεμὼν ἐκηρύχθη.* 13. *Τῶν Θηβῶν διαρπασθεισῶν καὶ κατασκαφεισῶν ὑπ' Ἀλεξάνδρου, οἱ Ἀθηναῖοι τοὺς φυγόντας τῶν Θηβαίων ὑπεδέξαντο εἰς τὴν ἑαυτῶν πόλιν.* 14. *Εὐμένης ἀποθνῄσκων ἔλεξεν οὐ σφαλῆναι πολεμίων ἀρετῇ, ἀλλὰ φίλων ἀπιστίᾳ.* 15. *Οἱ ἡμέτεροι ἱππεῖς, φυγόντες ἤδη, αὐτίκα τραπόμενοι τὴν πολεμίαν τάξιν ἐτρέψαντο.*

16. *Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.*

17. *Ἅπαντές ἐσμεν*[8]) *εἰς τὸ νουθετεῖν*[9]) *σοφοί·*
αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν.

B. 1. Fürchtet euch nicht, die Tugend wird sich stärker erweisen[10]) als das Unrecht! 2. Die Gesetze Solons wurden auf hölzerne Tafeln[11])

---

[1]) *ἀπορέω*, Impf. [2]) Aor. von *τρέπομαι*. [3]) Opt. Aor. [4]) Aor. [5]) *ἀβλαβής*, 2. [6]) aus Leontini (im östl. Sicilien). [7]) wegen. [8]) wir sind. [9]) *νουθετέω* warne, weise zurecht. [10]) d. h. erscheinen. [11]) *ἡ σανίς, ίδος*.

geschrieben. 3. Die Gebeine des Themistokles sollen von seinen Freunden heimlich in Athen begraben worden sein. 4. In Athen wurden der Artemis jährlich[1]) fünfhundert Ziegen geschlachtet. 5. Am meisten werden wir durch die plötzlich erschienenen Unglücksfälle verwirrt. 6. Diejenigen, welche immer mehr begehren, werden leicht zu Falle kommen. 7. Nach Trojas Zerstörung[2]) wurde Priamus selbst an (neben) einem Altare niedergehauen. 8. Wo einer die Feinde in die Flucht geschlagen hat[3]), errichtet er ein Siegeszeichen. 9. Die Erde soll zuerst von Triptolemus besät worden sein. 10. Durch den Tod werden wir von allen Leiden befreit werden.

76. Perf. II. Gr. § 99 (87).

A. 1. *Πολλοὶ συγγραφεῖς τὰς Ἀλεξάνδρου τοῦ μεγάλου πράξεις ἀναγεγράφασιν.* 2. *Θαυμάζομεν, ὅσα βεβούλευσθε καὶ ὅσα πεπράχατε.* 3. *Εὐθύδημος πολλὰ σοφῶν ἀνδρῶν γράμματα συνῆχει.* 4. *Λέγουσιν οἱ παρ' ἡμῖν ῥήτορες, Φίλιππον πρὸς βασιλέα πεπομφέναι περὶ συμμαχίας.* 5. *Δαρεῖος τοὺς ἱππέας πέραν τοῦ Πινάρου*[4]) *ποταμοῦ ἐτετάχει, ὅπως ἡ ἔκταξις*[5]) *τῆς στρατιᾶς ἀσφαλῶς γένοιτο.* 6. *Οἱ τριάκοντα ἰδίων κερδῶν ἕνεκα πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μησὶν ἢ πάντες Πελοποννήσιοι δέκα ἔτη πολεμοῦντες.* 7. *Δεσπόται πεφήνασιν οἱ Λακεδαιμόνιοι τῶν συμμάχων ἐλευθέρων πρότερον γενομένων.*

B. 1. Er hatte geordnet. Wir haben auferzogen (genährt). Hattet ihr geschickt? Sie hatte geschickt. Sie waren erschienen. Hast du gezeigt? Wem habt ihr erlaubt?

2. Was ich geschrieben habe, das habe ich geschrieben. 3. Der König glaubt Sieger zu sein[6]), da er Kyros getötet hat. 4. Wir wissen (haben) dir Dank, daß du uns den Weg gezeigt hast. 5. Durch die Hinrichtung[7]) des Sokrates haben die Athener selbst den größten Schaden erlitten[8]). 6. Dem Körper hat die Natur aufgetragen zu dienen, der Seele aber zu herrschen.

NB. Hier kann Nr. 88 gelesen werden.

---

[1]) *κατ' ἔτος.* [2]) Gen. absol. [3]) Vgl. Regel 24, b. [4]) Fluß bei Issus in Kilikien (unten S. 97). [5]) die Aufstellung. [6]) zu siegen, Inf. Präs. [7]) Part. Perf., *ἀπο-κτείνω.* [8]) sind am meisten geschädigt worden.

77. Krösus und Adrastus.

Μετὰ Σόλωνα οἰχόμενον ἔλαβεν ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον, ὅτι ἐνόμισεν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατος· αὐτίκα δ' αὐτῷ καθεύδοντι ὄνειρος τὴν ἀλήθειαν ἔφηνε τῶν μελλόντων κακῶν κατὰ[1] *τὸν παῖδα. Ἦσαν γὰρ τῷ Κροίσῳ δύο παῖδες, ὧν ὁ μὲν ἕτερος διέφθαρτο*[2] *(ἦν γὰρ κωφός), ὁ δὲ ἕτερος τῶν ἡλικιωτῶν τὰ πάντα*[3] *πρῶτος ἐγένετο· ὄνομα δ' αὐτῷ ἦν Ἄτυς*[4]*. Τοῦτον δὴ τὸν Ἄτυν ἐσήμηνε τῷ Κροίσῳ ὄνειρος, ὡς τελευτήσει αἰχμῇ σιδηρᾷ ἀκοντισθείς. Ὁ δὲ ἐπεὶ ἐξηγέρθη, ταραχθεὶς τῷ ὀνείρατι, ἄγεται τῷ παιδὶ γυναῖκα, ἀκόντια δὲ καὶ δόρατα καὶ τὰ τοιαῦτα πάντα ἐκ τῶν βασιλείων ἐξεκόμισεν, μή τι τὸν παῖδα βλάψειεν.*

Παρασκευάζοντος[5] *δὲ τὸν γάμον τοῦ παιδὸς ἀφικνεῖται εἰς τὰς Σάρδεις ἀνὴρ συμφορᾷ ἐμπεπλεγμένος*[6] *καὶ μεμιασμένος τὰς χεῖρας, ὢν Φρὺξ μὲν γενεᾷ, γένους δὲ βασιλείου. Παρελθὼν δὲ οὗτος εἰς τὴν Κροίσου οἰκίαν κατὰ νόμους τοὺς ἐπιχωρίους ἐδεῖτο*[7] *καθαρθῆναι, Κροῖσος δ' αὐτὸν ἐκάθηρεν. Ἐπεὶ δὲ τὰ νομιζόμενα*[8] *ἐποίησεν ὁ Κροῖσος, ἠρώτησεν, ὁπόθεν τε καὶ τίς εἴη, λέγων τάδε· „Ὦ ἄνθρωπε, τίς τε ὢν καὶ πόθεν τῆς Φρυγίας ἥκων ἐφέστιος*[9] *ἐμοὶ ἐγένου; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;" Ὁ δὲ ἀπεκρίνατο· „Ὦ βασιλεῦ, Γορδίου μὲν τοῦ Μίδου εἰμὶ παῖς, ὀνομάζομαι δὲ Ἄδραστος· φονεύσας δὲ ἀδελφὸν ἐμαυτοῦ ἄκων, πάρειμι πεφυγαδευμένος ὑπὸ τοῦ πατρὸς καὶ ἐστερημένος πάντων". Κροῖσος δ' αὐτῷ ἀπεκρίνατο τάδε· „Ἀνδρῶν τε φίλων τυγχάνεις ἔκγονος ὢν*[10] *καὶ ἥκεις εἰς φίλους, ἔνθα ἀπορῶν μὲν χρήματος οὐδενὸς μενεῖς· τὴν συμφορὰν δὲ ταύτην ὡς κουφότατα φέρων κερδανεῖς πλεῖστα."*

Οὗτος μὲν δὴ παρὰ Κροίσῳ ᾤκει, ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ ἐλθόντες παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι ἔλεγον τάδε· „Ὦ βασιλεῦ, σῦς μέγιστος ἐφάνη ἡμῖν ἐν τῇ χώρᾳ, ὃς τοὺς ἀγροὺς διαφθείρει· τοῦτον ζωγρῆσαι[11] *οὐχ οἷοί τε ἦμεν*[12]*. Νῦν οὖν αἰτούμεθά σε, τὸν παῖδα καὶ νεανίας ἐξαιρέτους*[13] *καὶ κύνας συμπέμψαι ἡμῖν, ὅπως αὐτὸν φυγαδεύσωμεν ἐκ τῆς χώρας". Κροῖσος*

---

1) in betreff. 2) hier „war beschädigt, verstümmelt, verkrüppelt". 3) Gr. § 153 (138). 4) Vgl. Gr. § 168. A. 2 (154. A.). 5) sc. *αὐτοῦ*. 6) *ἐμ-πλέκω* verflechte, verwickle. 7) *δέομαι* bitte. 8) die üblichen Sühngebräuche. 9) Schutzflehender (vgl. Nr. 78, A. 11). 10) *τυγχάνω ὤν* ich bin (gerade, zufällig). Gr. § 219 (198), 1. a. 11) *ζωγρέω* fange lebendig. 12) eramus. 13) *ἐξαίρετος*, 2. auserwählt.

δὲ μνήμων τοῦ ὀνείρατος οὐκ ἐβούλετο συμπέμψαι τὸν υἱόν· ὁ δὲ ἀκούσας τὸ πρᾶγμα πολλὰ ἐδεῖτο[1], λέγων, ἐπεὶ οὐ πρὸς ἄνδρας γίγνοιτο ἡ μάχη, τὸν πατέρα μάτην[2] φοβεῖσθαι αἰχμὴν σιδηρᾶν.

Πεισθεὶς οὖν τοῖς Ἄτυος λόγοις μεταπέμπεται Κροῖσος τον Φρύγα Ἄδραστον, ἀφικομένῳ δ᾽ αὐτῷ λέγει τάδε· „Ἐγώ σε ἐμπεπλεγμένον[3] συμφορᾷ, ἥν σοι οὐκ ὀνειδίζω, ἐκάθηρα, καὶ οἰκίᾳ δεξάμενος παρέχω πᾶσαν δαπάνην· νῦν οὖν φύλακα παιδός σε τοῦ ἐμοῦ χρήζω γενέσθαι εἰς θήραν ὁρμωμένου, ὅπως μή τινες κακοῦργοι καθ᾽ ὁδὸν φανέντες βλάψωσιν ὑμᾶς“. Ὁ δὲ ταῦτα ποιεῖν ἕτοιμος ἦν καί· „Παῖδα τὸν σόν“, ἔφη, „ὃν κελεύεις με φυλάττειν, ἀβλαβῆ τοῦ φυλάττοντος ἕνεκα[4] ἐπανελθεῖν πέπεισο“. Ἐλθόντες οὖν εἰς τὸν Ὄλυμπον[5] τὸ ὄρος ἐζήτουν τὸ θηρίον, ἰχνεύσαντες[6] δὲ ἐκυκλοῦντο καὶ ἠκόντιζον. Ἔνθα δὴ[7] Ἄδραστος, ὁ ξένος, ἀκοντίζων τὸν ὗν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός.

Ἔθει δέ τις ἀγγελῶν τῷ Κροίσῳ τὴν συμφοράν, ἀφικόμενος δὲ εἰς τὰς Σάρδεις τήν τε μάχην καὶ τὴν τοῦ παιδὸς τύχην ἐσήμηνεν αὐτῷ. Ὁ δὲ Κροῖσος τῷ θανάτῳ τοῦ παιδὸς τεταραγμένος μάλιστ᾽ ἐχαλέπαινεν, ὅτι τὸν υἱὸν ἀπέκτεινεν ἐκεῖνος, ὃν αὐτὸς φόνῳ μεμιασμένον ἐκάθηρεν. Μετ᾽ ὀλίγον δὲ χρόνον παρεγένοντο μὲν οἱ Λυδοὶ φέροντες τὸν νεκρόν, ὄπισθεν δὲ ἑπόμενος παρεγένετο καὶ ὁ φονεύς. Ἐλθὼν δὲ πρὸ τοῦ νεκροῦ ἐπέτρεπεν ἑαυτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας καὶ κατασφάξαι αὐτὸν κελεύων ἐπὶ τῷ τοῦ τετελευτηκότος τάφῳ.

Ἀκούσας δὲ ταῦτα ὁ Κροῖσος αὐτὸν οἰκτίρει, καίπερ[8] ὢν ἐν κακῷ οἰκείῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτόν. „Ἔχω, ὦ ξένε, παρὰ σοῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεαυτοῦ καταγιγνώσκεις[9] θάνατον· ἀλλ᾽ οὐ σύ μοι τοῦδε τοῦ κακοῦ αἴτιος εἶ[10], ἀλλὰ θεῶν τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλλοντα.“ Κροῖσος μὲν οὖν ἔθαψε τὸν ἑαυτοῦ παῖδα· Ἄδραστος δέ, φονεὺς μὲν τοῦ ἑαυτοῦ ἀδελφοῦ γενόμενος, φονεὺς δὲ τοῦ Ἄτυος, τοῦ παιδὸς τοῦ καθήραντος, ἐπεὶ ἡσυχία τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, πάντων ἀνθρώπων δυστυχέστατος εἶναι οἰόμενος, ἐπὶ τῷ τάφῳ κατέσφαξεν ἑαυτόν.

---

[1] δέομαι bitte. [2] umsonst. [3] ἐμ-πλέκω verflechte, verwickle. [4] d. h. soviel an seinem Wächter liegt. [5] Berg an der Grenze von Mysien und Phrygien. [6] ἰχνεύω spüre auf. [7] da nun. Gr. § 75 (69), A. 1. [8] obgleich; R. 30. [9] καταγιγνώσκω τινὸς θάνατον erkenne gegen jem. auf Tod, verurteile jemd. zum Tod. [10] du bist.

ναίων πρὸς τοὺς ἀστυγείτονας[1]) ἐν Ἐλευσῖνι στρατευσάμενος καὶ νικήσας τοὺς πολεμίους κάλλιστα ἐτελεύτησεν· τελευτήσαντα δ' αὐτὸν οἱ Ἀθηναῖοι δημοσίᾳ[2]) ἔθαψαν καὶ ἐτίμησαν μεγάλως."

Ὡς δὲ ταῦτα περὶ τοῦ Τέλλου ἐξηγήσατο[3]) τῷ Κροίσῳ, οὗτος ἐπηρώτησε, τίς δὴ δεύτερος μετ' ἐκεῖνον εἴη, ἐλπίζων, δεύτερός γε[4]) μετὰ τὸν Τέλλον εἶναι. Ὁ δὲ ἔλεξε· „Κλέοβις καὶ Βίτων. Τούτοις γάρ," ἔφη, „Ἀργείοις[5]) οὖσι τὸ γένος βίος[6]) ὑπῆρχεν ἱκανὸς καὶ πρὸς τούτῳ[7]) ῥώμη σώματος θαυμαστὴ καὶ καλὸς θάνατος. Οὔσης γὰρ ἑορτῆς τῇ Ἥρᾳ τοῖς Ἀργείοις, ὅπου νόμος ἦν, τὴν μητέρα αὐτῶν ἐφ' ἁμάξης κομισθῆναι εἰς τὸ ἱερόν, ὡς οἱ βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίγνοντο ἐν καιρῷ, οἱ νεανίαι αὐτοὶ τὴν ἅμαξαν ἦγον, ἐπὶ τὸ ἱερὸν ἀπέχον σταδίους πέντε καὶ τετταράκοντα τῆς πόλεως τὴν μητέρα διακομίζοντες[8]). Ταῦτα δ' αὐτοῖς ποιήσασι καὶ θαυμασθεῖσιν ὑπὸ πάντων Ἀργείων εἶτα καὶ ἡ τελευτὴ τοῦ βίου ἦν ἀρίστη· καὶ ἐμήνυσεν ἐν τούτοις ὁ θεός, ὅτι πολὺ ἀμείνων ἐστὶ τῷ ἀνθρώπῳ ὁ θάνατος τῆς ζωῆς. Οἱ μὲν γὰρ Ἀργεῖοι παρόντες ἐμακάριζον τῶν νεανιῶν τὴν ῥώμην, αἱ δ' Ἀργεῖαι τὴν μητέρα, οἵων[9]) τέκνων ἐτύγχανεν. Ἡ δὲ μήτηρ, ἡδομένη τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, ἐν τῷ ἱερῷ ηὔξατο τῇ θεῷ, τοῖς υἱέσι παρέχειν, ὅ, τι ἀνθρώπῳ εἴη ἄριστον. Ὡς δὲ μετὰ ταύτην τὴν εὐχὴν ἔθυσαν οἱ νεανίαι, κατακοιμηθέντες[10]) ἐν αὐτῷ τῷ ἱερῷ ἐτελεύτησαν. Οἱ δὲ Ἀργεῖοι εἰκόνας[11]) αὐτῶν ποιησάμενοι ἐν Δελφοῖς ἱδρύσαντο, ὡς ἀνδρῶν καλῶν καὶ ἀγαθῶν."

Σόλων μὲν δὴ τούτους δευτέρους μετὰ Τέλλον ὀλβιωτάτους ὠνόμασεν, ὁ δὲ Κροῖσος χαλεπαίνων· „Ὦ ξένε Ἀθηναῖε," ἔφη, „ἡ δ' ἡμετέρα εὐδαιμονία[12]) οὕτω σοι[13]) ἀπέρριπται εἰς τὸ μηδέν[14]), ὥστε οὐδ'[15]) ἰδιωτῶν ἀνδρῶν ἡμᾶς ἀξίους ἐποίησας;" Ὁ δὲ ἔλεξεν· „Οὐκ ἄπειρον ὄντα τοῦ τῶν θεῶν φθόνου καὶ τῶν τοῦ βίου ταραχῶν[16]) ἠρώτησάς με περὶ ἀνθρωπίνων πραγμάτων. Ἐν γὰρ τῷ μακρῷ τοῦ βίου χρόνῳ πολλὰ πέμπουσιν οἱ θεοί, ἃ οὐδεὶς ἂν

---

1) *ἀστυγείτων = γείτων.* 2) von Staats wegen, auf öffentliche Kosten; vgl. S. 39, 10. 3) *ἐξ-ηγέομαι* führe aus, setze auseinander, erzähle. 4) *γέ* encl.: S. 52, 6. 5) *ὁ Ἀργεῖος* der Argiver. 6) hier: Lebensunterhalt. 7) dazu, außerdem. 8) *δια-κομίζω* bringe hin. 9) s. v. a. *ὅτι τοιούτων.* 10) *κατακοιμάομαι*, M. P., schlafe ein. 11) *ἡ εἰκών, όνος* das Bild, die Bildsäule. 12) *ἡ εὐδαιμονία* das Glück, der Wohlstand, Reichtum. 13) s. v. a. *ὑπὸ σοῦ* (Gr. § 168, 2. b. = 154, 2). 14) ist so ganz verschmäht. 15) *οὐδέ* nicht einmal. 16) *αἱ ταραχαί* die Verwicklungen, Wirren.

προγιγνώσκοι. Εἰς γὰρ ἑβδομήκοντα ἐνιαυτοὺς τὸν βίον ἀνθρώπου λογισαίμην ἂν εἶναι· οὗτοι δ' οἱ ἑβδομήκοντ' ἐνιαυτοὶ παρέχοιντ' ἂν ὡς[1]) πεντήκοντα καὶ πεντακοσίας καὶ πεντακισχιλίας καὶ δισμυρίας ἡμέρας. Τοσούτων δ' ἡμερῶν οὐσῶν ἡ ἑτέρα τῇ ἑτέρᾳ ἡμέρᾳ οὐδὲν ὅμοιον προσάγει πρᾶγμα. Οὕτως οὖν, ὦ Κροῖσε, ἄνθρωπος πάντως ἂν εἴη συμφορά[2]). Ἐμοὶ δὲ σὺ ἐν τῷ νῦν χρόνῳ καὶ μέγα πλουτεῖν δοκεῖς καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων. Ἐκεῖνο δέ, ὅ ἠρώτας με, οὔπω σὲ ἐγὼ λέγω, πρὶν ἂν καλῶς σε τελευτήσαντα ἀκούσω. Οὐ γὰρ ὁ μάλα πλούσιος ὀλβιώτερός ἐστι τοῦ ἐφ' ἡμέραν ἔχοντος, εἰ μὴ καὶ καλῶς τελευτήσει τὸν βίον. Πολλοὶ γὰρ πλουσιώτατοι ἄνθρωποι ἀνόλβιοί εἰσιν, πολλοὶ δὲ μετρίαν ἔχοντες οὐσίαν εὐτυχεῖς. Εἰ γάρ τις ὑγιής ἐστι καὶ ἄπηρος[3]) καὶ ἀπαθὴς[4]) κακῶν καὶ εὔπαις[5]) καὶ πρὸς τούτοις[6]) ἔτι τὸν βίον τελευτήσει εὖ, οὗτος ἂν εἴη ἐκεῖνος, ὃν σὺ ζητεῖς, ὄλβιος ὠνομάσθαι ἄξιος· πρὶν δ' ἂν τελευτήσῃ, οὔπω ὄλβιος ὀνομαστέος ἐστίν, ἀλλ' εὐτυχής[7]). Τὰ πάντα μὲν οὖν ταῦτα οὐδεὶς ἂν ἄνθρωπος ὢν συλλαμβάνοι[8]), ὥσπερ χώρα οὐδεμία πάντας φέρει καρπούς, ἀλλ' ἄλλους μὲν ἔχει, ἄλλων δὲ ἐστερημένη ἐστίν. Τῶν δ' ἀνθρώπων ὅστις ἂν πλεῖστα τῶν ἀγαθῶν ἔχῃ καὶ ἔπειτα τὸν βίον εὐχαρίστως[9]) τελευτήσῃ, οὗτος παρ' ἐμοὶ ὄλβιος ὠνομάσθαι ἄξιός ἐστιν. Σκοπεῖν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν· πολλοῖς γὰρ εὐτυχίαν ὀλίγον χρόνον πορίσας ὁ θεὸς ἔπειτα ἀτυχεστάτους ἐποίησεν.

Ταῦτα λέξαντα τὸν Σόλωνα ὁ Κροῖσος οὐδενὸς λόγου ἐποιήσατο[10]) καὶ ἀποπέμπει ὡς μάλα ἀμαθῆ[11]) ὄντα, ὃς τῶν παρόντων ἀγαθῶν καταφρονήσας τὴν τελευτὴν παντὸς χρήματος σκοπεῖν ἐκέλευεν.

Γνώμη.

Πολλοὶ μὲν πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται[12])·
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα[13])
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον[14]) ἀεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος[15]) ἔχει.

Σόλων.

---

[1]) ungefähr. [2]) ein Spiel des Zufalls. [3]) frei von Gebrechen. [4]) ohne gelitten zu haben, frei. [5]) glücklich in seinen Kindern. [6]) dazu, überdies. [7]) vom Glücke begünstigt. [8]) συλ-λαμβάνω erlange zusammen. [9]) auf erwünschte, glückliche Weise. [10]) λόγου ποιεῖσθαι der Beachtung würdigen. [11]) ungebildet, unverständig. [12]) πένομαι bin arm. [13]) δι-αμείβομαί τινί τι tausche mit einem etwas, τινός gegen etw. [14]) dauernd, fest. [15]) alias alius, bald dieser, bald jener.

Tempusbildung der Verba liquida.

71. Fut. Akt. und Medii. Gr. § 95, 1. 3 (83, 1. 3).

A. 1. *Ὁμονοοῦντες ἰσχυροὶ μενοῦμεν.* 2. *Τίς ἄμεινον τοῦ σοφοῦ κρινεῖ τὰ δίκαια;* 3. *Ὀργῆς λήξας*[1]) *κερδανεῖς ἀμείνω.* 4. *Πολέμου οὐκ ἀρξόμεθα, ἀρξαμένους δὲ ἀμυνούμεθα.* 5. *Τὴν πατρίδα ἐλπίζομεν εἰς τὸ ἔπειτα ἐλευθέραν νεμεῖσθαι.* 6. *Εὐφρανεῖ σε πλοῦτος πολλοὺς εὐεργετοῦντα.* 7. *Ἐθαύμαζον οἱ τῶν Ἑλλήνων στρατηγοί, ὅτι Κῦρος οὔτε ἄλλον πέμποι σημανοῦντα, ὅ,τι χρὴ ποιεῖν, οὔτε αὐτὸς φαίνοιτο.* 8. *Εἰ μὴ φυλάξεις τὰ μικρά, ἀποβαλεῖς τὰ μείζονα.* 9. *Μετὰ τὴν νίκην Λύσανδρος εἰς Λακεδαίμονα τοὺς τὴν νίκην ἀγγελοῦντας ἔπεμψεν ἐπὶ τῆς κρατίστης νεώς.*

10. *Δοῦλον τὸν ἐσθλὸν τοὔνομ'*[2]) *οὐ διαφθερεῖ,*
πολλοὶ[3]) *δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.*

11. *Ἀεὶ λέγων τἀληθὲς οὐ σφαλῇ ποτε.*

B. 1. Frage, und ich werde antworten. 2. Wenn der Leib gesund ist, wird auch die Seele gesund sein. 3. Wer sich vor[4]) sich selbst nicht schämt, wird sich auch vor[4]) andern nicht schämen. 4. Wenn ihr den Gesetzen nicht gehorcht, werdet ihr die Freiheit zerstören. 5. Sorget dafür, daß[5]) ihr an[4]) den Seelen rein werdet (euch reinigt). 6. Wir stellten uns den Feinden entgegen, um uns zu verteidigen. 7. Wir werden uns niemals schämen, die Wahrheit zu sagen. 8. Am besten wirst du dich verteidigen, wenn du gerecht bist. 9. Den Leib werdet ihr töten, aber die Seele nicht. 10. Mit der Götter Hülfe[6]) werden wir die Angreifer[7]) abwehren.

72. Aor. Akt. und Medii. Gr. § 95, 2. 3 (83, 2. 3).

A. 1. *Ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε.* 2. *Ἡ τύχη διένειμεν ἄλλοις ἄλλα δῶρα.* 3. *Νικίας πάντα τὸν χρόνον οὐδὲν*[8]) *ἔσφηλε τὴν πόλιν.* 4. *Κρεῖττόν ἐστι μικρὰ εὖ ἢ μεγάλα κακῶς περᾶναι.* 5. *Παρμενίδης πρῶτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ*[9]). 8. *Εἴθε κακῶς διαφθείρειαν τοὺς κακοὺς οἱ θεοί.* 7. *Ἀθηνᾶ περιέστειλεν*[10]) *Ἡρακλέα πέπλῳ, ὃν αὐτὴ ὑφήνατο.* 8. *Ὅτῳ δοκεῖ ταῦτα, ἀνατει-*

---

[1]) *λήγω* höre auf, lasse ab, von etw. *τινός.* [2]) *τὸ ὄνομα.* Gr. § 23, 2. a. (18, 2). [3]) sc. *δοῦλοι.* [4]) Acc. [5]) *ὅπως* mit Ind. Fut. [6]) d. i. mit den G. [7]) *ἐπέρχομαι*, Part. [8]) in nichts, nicht. Gr. § 153 (138). [9]) *σφαιρο-ειδής*, 2. kugelförmig. [10]) *περι-στέλλω* umhülle.

νάτω τὴν χεῖρα. 9. *Τοὺς Τρῶας δέκα ἔτη ἀνδρείως ἀμυναμένους οὐ βία, ἀλλὰ δόλος ἔσφηλεν.* 10. *Ἀλέξανδρος ἀποθνήσκων οὐκ ἀπεφήνατο, τίνι καταλείποι τὴν ἀρχήν.* 11. *Θησεὺς τὴν ἐκ Τροιζῆνος*[1]) *εἰς Ἀθήνας φέρουσαν ὁδὸν καθῆραι λέγεται κακούργων.* 12. *Οὐδένα χρὴ μακαρίζειν, ἕως ἂν βιοτεύῃ, ἀλλ' ἀναμεῖναι, ἕως ἂν τὸν βίον περάνῃ.* 13. *Τίς οὐκ ἂν οἰκτίρειεν ἐσθλὸν ἄνδρα ἀτυχοῦντα;* 14. *Δημῶναξ ἐρωτήσαντός τινος, ποῖα νομίζοι εἶναι τὰ ἐν Ἅιδου· „Μεῖνον," ἔφη, „ἕως ἂν αὐτὸς θεάσωμαι, κἀκεῖθεν ἀγγελῶ σοι."* 15. *Κλεινὸν*[2]) *τὸ ἀπόφθεγμα*[3]) *Γοργοῦς, τῆς Κλεομένους θυγατρός· Διαφθερεῖ σε, ὦ πάτερ, ὁ ξένος, ἐὰν μὴ ὡς τάχιστα ἐκ τῆς οἰκίας ἀποστείλῃς.* 16. *Ἐπιτρέπω τῷ θεῷ κρῖναι περὶ ἐμοῦ, ὅπῃ*[4]) *ἐμοὶ ἄριστα ἂν εἴη.* 17. *Πολλάκις μικροὶ λόγοι ἔσφηλαν ἤδη καὶ ἀνώρθωσαν βροτούς.*

18. *Τόλμα σύ, κἂν*[5]) *τι τραχὺ νείμωσιν θεοί.*

B. 1. Ausführen[6]) ist besser als versprechen[6]). 2. Böse Gesellschaften verderben[6]) gute Sitten. 3. Orestes befleckte seine Hände mit dem Blute der Mutter. 4. Antworte bescheiden[7]), o Sohn, wenn[8]) ältere dich fragen[6]). 5. Oft bringt[6]) Unerfahrenheit die Menschen zu Fall[6]). 6. Die Hellenen begannen niemals ein Opfer, bevor sie sich gereinigt hatten[6]). 7. Nachdem Kadmus den Drachen getötet und die Zähne desselben gesät hatte, wuchsen[9]) Männer hervor. 8. Eteokles und Polyneikes töteten einander im Streit[10]) um die Herrschaft. 9. Apollo befahl den Athenern, sich mit einer hölzernen Mauer zu verteidigen. 10. Nachdem Xerxes ein zahlloses Heer gesammelt hatte, zog er gegen Griechenland zu Felde. 11. Was wohl dürfte die Eltern mehr erfreuen als das Glück der Kinder? 12. Hippias reizte[11]) den Darius zum Kriege gegen Athen. 13. Pythagoras erklärte[12]), daß die menschliche Seele unsterblich sei.

73. Die übrigen Tempora. Gr. § 96 (84).
(Mit Ausschluß der Tempora secunda.)

A. 1. *Ἠγγέλθη ὑπὸ Λυσάνδρου τὰ πεπραγμένα διὰ Θεοπόμπου τοῦ Μιλησίου εἰς Λακεδαίμονα.* 2. *Ὁ Νεῖλος ποταμὸς νήσους ἔχει πολλὰς διεσπαρμένας.* 3. *Τοὺς στρατιώτας ἄριστα ἐσταλμένους εἰς τὸν πόλεμον στελοῦμεν.* 4. *Ἀπέσταλκά σοι, ὦ Δημόνικε, τόνδε τὸν λόγον δῶρον.* 5. *Πολλάκις τῇ τύχῃ ἐσφάλμεθα.* 6. *Ξέρξης τὸ*

---

[1]) *ἡ Τροιζήν, ῆνος* die Stadt Trözen. [2]) berühmt, bekannt. [3]) der Ausspruch. [4]) wie. [5]) *κἂν = καὶ ἐάν.* [6]) Aor. [7]) *κοσμίως.* [8]) Reg. 24, a. [9]) *ἀνα-τέλλομαι.* [10]) Part. [11]) *παρ-οξύνω.* [12]) *ἀπο-φαίνομαι.*

Λεωνίδου σῶμα λελυμασμένον ἀνασταυρῶσαι[1]) *ἐπέταξεν.* 7. *Ὀρέστης, μεμιασμένος τῷ τῆς μητρὸς αἵματι, ἐν Δελφοῖς ἐκαθάρθη ὑπ' Ἀπόλλωνος.* 8. *Μὴ ἀναμείνωμεν, ἕως ἂν ἀγερθῶσιν οἱ πολέμιοι, ἀλλ' ἔτι διεσπαρμένοις αὐτοῖς ἐπιχειρῶμεν.* 9. *Ὁ τὴν ψυχὴν κεκαθαρμένος κάλλιστα κεκόσμηται.* 10. *Ὅστις τῶν Ἀθηναίων φανθείη ἐλαίαν ἐξορύξας, διακοσίαις μναῖς ἐζημιοῦτο.* 11. *Φίλιππος πολλὰς ἐλάμβανε πόλεις, ὧν τοὺς προστάτας νομῇ*[2]) *χρημάτων ἦν διεφθαρκώς.* 12. *Τοῖς Ἕλλησιν ἔθος ἦν, εἴ τις τῶν συγγενῶν τελευτήσειε, κεκάρθαι τὰς κόμας*[3]). 13. *Πηνελόπη τρία ἔτη ἐντάφιον*[4]) *ὑφαίνουσα τῷ Λαέρτῃ οὐκ ἐπέρανε τὸ ἔργον· νυκτὸς γὰρ ἔλυε τὰ ἡμέρας ὑφασμένα.* 14. *Ἀγγελθείσης τῆς ἐν Σικελίᾳ συμφορᾶς, οἱ Ἀθηναῖοι πολὺν μὲν χρόνον ἠπίστουν τοῖς ἀγγείλασιν· ἔπειτα δὲ ὀργισθέντες ἐκάκιζον*[5]) *τοὺς μάντεις, λέγοντες ἐσφάλθαι ὑπ' αὐτῶν.*

B. 1. Antworte mir: Was ist neues[6]) gemeldet worden? 2. Habt ihr die Trieren in den Pontus abgesandt? 3. Die meisten der königlichen Gräber in Ägypten sind jetzt zerstört. 4. Das Leben des Pausanias wurde durch schimpfliche Thaten befleckt. 5. Großes wird eher durch Weisheit als durch Macht vollendet werden. 6. Nachdem gemeldet worden war, daß sechzig Schiffe bei Kyzikus vernichtet worden seien, schickten die Lakedämonier Gesandte nach Athen wegen[7]) des Friedens. 7. Habe Scheu[8]) vor dir selbst, damit du dich nicht vor den andern schämest[8])! 8. Die Seele soll von Begierden gereinigt und mit Tugenden geschmückt sein. 9. Der Neid und die Habsucht[9]) haben vieler Menschen Sinn verdorben. 10. Noch ist nicht aller Tage Abend!

Tempora secunda.

74. Aor. II. Akt. und Med. Gr. § 97 (85).

Von unregelmäßigen Verben (§ 116—120 = 107—111) merke hier die Aor. II.:

ἔλιπον ich ließ, von *λείπω*.	*ἔπεσον* ich fiel, von *πίπτω*.
ἔφυγον ich floh, von *φεύγω*.	*ἀπ-έθανον* ich starb, v. *ἀπο-θνήσκω*.
ἔλαβον ich nahm, von *λαμβάνω*.	*ἦλθον* ich ging, kam, von *ἔρχομαι*.
ἐγενόμην ich wurde, von *γίγνομαι*.	
ἀφ-ῑκόμην ich kam, von *ἀφ-ικνέομαι*.	

---

1) *ἀνα-σταυρόω* schlage ans Kreuz. 2) *ἡ νομή* das Austeilen, die Verteilung. 3) *ἡ κόμη* das Haupthaar. 4) *τὸ ἐντάφιον* das Sterbekleid. 5) *κακίζω* schmähe. 6) neueres. 7) *περί*. 8) Aor. 9) *ἡ πλεονεξία*.

A. 1. *Αἴσχιστον ἦν Σπαρτιάτῃ τὴν τάξιν ἀπολιπεῖν καὶ ἐκ μάχης φυγεῖν.* 2. *Οἱ Ἕλληνες εἰσηγάγοντο θεοὺς ξένους*[1]) *ἐξ ἀλλοτρίων ἐθνῶν.* 3. *Οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.* 4. *Πέρσαις νόμος ἦν, ὁπότε βασιλεὺς ἀποθάνοι, ἀνομίαν εἶναι πέντε ἡμερῶν.* 5. *Μὴ σπεῦδε πλουτεῖν, μὴ γένῃ πένης ταχύ.* 6. *Δωριεὺς στρατευόμενος πρὸς τοὺς Συβαρίτας ἔπεσεν, ὅτι ταῦτα παρὰ τὰ μεμαντευμένα ἐποίησεν.* 7. *Μήτ' εὐτυχῶν τράπῃ πρὸς ῥαθυμίαν*[2]) *μήτ' ἀτυχῶν πρὸς ἀθυμίαν.* 8. *Τίνα ἂν γῆν μᾶλλον φιλοῖμεν ἢ τὴν πατρίδα τεκοῦσαν ἡμᾶς καὶ θρέψασαν.* 9. *Μὴ ἀναμείνωμεν, ἕως ἂν ἐμβάλωσιν*[3]) *οἱ ἡμέτεροι πολέμιοι εἰς τὴν ἡμετέραν χώραν, ἀλλὰ πορευθῶμεν ὡς τάχιστα εἰς τὴν πολεμίαν.* 10. *Μαχομένους δεῖ σκοπεῖν ἡμᾶς, ὅπως ὡς ἐλάχιστα μὲν τραύματα λάβωμεν, ὡς ἐλάχιστα δὲ σώματα ἀνδρῶν ἀποβάλωμεν.* 11. *Ξέρξης τοσαῦτα ἔθνη εἰς τὴν Ἑλλάδα ἤγαγεν, ὥστε τὰ ὕδατα ἐπέλιπε*[4]) *πινόμενα.* 12. *Διενείμαντο τὴν ἀρχὴν τῶν πάντων Ζεὺς καὶ Ποσειδῶν καὶ Πλούτων, ἐπεὶ παρὰ τοῦ πατρὸς παρέλαβον.* 13. *Ἀφικόμενοι πρὸς τὸν Ἀράξην ποταμὸν ηὕρισκον οἱ μύριοι κώμας πολλὰς μεστὰς σίτου καὶ οἴνου· ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο.* 14. *Ἐπεὶ οἱ πελτασταί, ὑπερβαλόντες τὰ ὄρη, ἔβλεψαν τὰς σκηνάς, τοὺς ὁπλίτας οὐκ ἔμειναν, ἀλλ' ἀνακραγόντες φερόμενοι*[5]) *ἦλθον ἐπὶ τὸ στρατόπεδον.* 15. *Δῆλον ἦν τοῖς Ἕλλησιν, ὅτι νικῶντες μὲν οὐδένα ἂν κατακάνοιεν, ἡττηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη.* 16. *Τῶν Περσῶν ἐγγὺς προσελθόντων Θεμιστοκλῆς ἔπεισε τοὺς Ἀθηναίους, ἀπολιπόντας τὴν πόλιν καταφυγεῖν εἰς τὰς ναῦς, παῖδας δὲ καὶ γυναῖκας ἀγαγέσθαι εἰς τὰς νήσους.* 17. *Καυσιανοί, Σκυθικὸν ἔθνος, τοὺς μὲν γιγνομένους θρηνοῦσι*[6]), *τοὺς δ' ἀποθανόντας μακαρίζουσιν.*

18. *Ποῖ*[7]) *νῦν φύγωμεν, ποῖ τραπώμεθ', ὦ φίλοι;*

B. 1. Gott sprach: „Es werde Licht!" und es ward [Licht]. 2. Krankheiten könntest du wohl entfliehen, aber dem Tode zu entfliehen ist unmöglich. 3. Bei Chäronea verloren die Griechen ihre Freiheit für[8]) immer. 4. Wartet, bis wir zurückgekommen sein werden[9]). 5. Alle Perser, welche bei Salamis den Athenern entkommen waren[10]), gerieten (fielen) in die [Hände der] Ägineten. 6. Nach des Philippus Tode übernahm Alexander die Herrschaft. 7. Die Athener vertrieben den

---

[1]) hier Adj. [2]) *ῥαθυμία* Leichtsinn, Sorglosigkeit. [3]) *ἐμβάλλω* einen Einfall machen, einfallen. [4]) *ἐπιλείπω* gehe aus, versiege. [5]) *φέρομαι* eile. [6]) *θρηνέω* beklage. [7]) wohin? [8]) *εἰς*. [9]) Regel 23. 24. [10]) Aor.

Themistokles; er aber floh und kam zum Großkönig. 8. Die Feldherrn waren in Verlegenheit[1]), welchen Weg sie einschlagen[2]) sollten. 9. Die Griechen gelobten der Artemis, wie viele (der) Feinde sie getötet hätten[3]), so viele Ziegen der Göttin opfern [zu wollen]. 10. Mögen die Götter euch alle bewahren[4]) und unversehrt[5]) ins Vaterland führen[4])!

75. Aor. II. und Fut. II. Pass. Gr. § 98 (86).

A. 1. *Διόνυσος ἐν Νάξῳ, ὡς Νάξιοι λέγουσιν, ἐτάφη.* 2. *Πρὸ τοῦ ἔργου βουλεύου, ἵνα μὴ μωρὸς φανῇς.* 3. *Ἡ ψυχὴ τοῦ σώματος ἀπαλλαγεῖσα οὐ διαφθαρήσεται.* 4. *Τῇ ἀδικίᾳ οὐδεὶς ἂν τοσοῦτο βλαβείη, ὅσον ὁ ἀδικήσας.* 5. *Οἱ τῇ τύχῃ καὶ ταῖς ἐλπίσιν ἄγαν πεπιστευκότες ταχέως ἂν σφαλεῖεν.* 6. *Σοφίας ὁ καρπὸς οὔποτε φθαρήσεται.* 7. *Ὁ θεὸς τοῖς Θηβαίοις ἐμαντεύσατο, ὅτι οὐκ ἀπαλλαγήσοιντο τῆς Σφιγγός, πρὶν ἂν τις λύσῃ τὸ αἴνιγμα.* 8. *Γοργίας ὁ Λεοντῖνος*[6]) *πρεσβευτὴς εἰς Ἀθήνας ἀποσταλεὶς πολλὰ ἐθαυμάσθη ἐπὶ*[7]) *τῇ πειθοῖ.* 9. *Πτολεμαίου τοῦ βασιλέως κατασφαγέντος ὑπὸ Γαλατῶν, πᾶσα ἡ τῶν Μακεδόνων δύναμις κατεκόπη.* 10. *Οἱ Ἕλληνες ἡττηθέντες ἐν Χαιρωνείᾳ οὐκέτι ἐτόλμησαν ἀντιτάξασθαι τοῖς Μακεδόσιν, ἀλλὰ διεσπάρησαν εἰς τὰς ἑαυτῶν πόλεις.* 11. *Ἀλέξανδρος, ἐὰν ἄριστος φανῇ στρατηγός, οὐκ ἄριστος φανήσεται ἄνθρωπος.* 12. *Συλλεγέντων τῶν Ἑλλήνων εἰς τὸν Ἰσθμὸν καὶ ψηφισαμένων ἐπὶ Πέρσας στρατεῦσαι, Ἀλέξανδρος ἡγεμὼν ἐκηρύχθη.* 13. *Τῶν Θηβῶν διαρπασθεισῶν καὶ κατασκαφεισῶν ὑπ' Ἀλεξάνδρου, οἱ Ἀθηναῖοι τοὺς φυγόντας τῶν Θηβαίων ὑπεδέξαντο εἰς τὴν ἑαυτῶν πόλιν.* 14. *Εὐμένης ἀποθνῄσκων ἔλεξεν οὐ σφαλῆναι πολεμίων ἀρετῇ, ἀλλὰ φίλων ἀπιστίᾳ.* 15. *Οἱ ἡμέτεροι ἱππεῖς, φυγόντες ἤδη, αὐτίκα τραπόμενοι τὴν πολεμίαν τάξιν ἐτρέψαντο.*

16. *Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.*

17. *Ἅπαντές ἐσμεν*[8]) *εἰς τὸ νουθετεῖν*[9]) *σοφοί·*
αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν.

B. 1. Fürchtet euch nicht, die Tugend wird sich stärker erweisen[10]) als das Unrecht! 2. Die Gesetze Solons wurden auf hölzerne Tafeln[11])

---

[1]) *ἀπορέω*, Impf. [2]) Aor. von *τρέπομαι*. [3]) Opt. Aor. [4]) Aor. [5]) *ἀβλαβής*, 2. [6]) aus Leontini (im östl. Sicilien). [7]) wegen. [8]) wir sind. [9]) *νουθετέω* warne, weise zurecht. [10]) d. h. erscheinen. [11]) *ἡ σανίς, ἴδος*.

geschrieben. 3. Die Gebeine des Themistokles sollen von seinen Freunden heimlich in Athen begraben worden sein. 4. In Athen wurden der Artemis jährlich[1]) fünfhundert Ziegen geschlachtet. 5. Am meisten werden wir durch die plötzlich erschienenen Unglücksfälle verwirrt. 6. Diejenigen, welche immer mehr begehren, werden leicht zu Falle kommen. 7. Nach Trojas Zerstörung[2]) wurde Priamus selbst an (neben) einem Altare niedergehauen. 8. Wo einer die Feinde in die Flucht geschlagen hat[3]), errichtet er ein Siegeszeichen. 9. Die Erde soll zuerst von Triptolemus besät worden sein. 10. Durch den Tod werden wir von allen Leiden befreit werden.

76. Perf. II. Gr. § 99 (87).

A. 1. *Πολλοὶ συγγραφεῖς τὰς Ἀλεξάνδρου τοῦ μεγάλου πράξεις ἀναγεγράφασιν.* 2. *Θαυμάζομεν, ὅσα βεβούλευσθε καὶ ὅσα πεπράχατε.* 3. *Εὐθύδημος πολλὰ σοφῶν ἀνδρῶν γράμματα συνῆχει.* 4. *Λέγουσιν οἱ παρ' ἡμῖν ῥήτορες, Φίλιππον πρὸς βασιλέα πεπομφέναι περὶ συμμαχίας.* 5. *Δαρεῖος τοὺς ἱππέας πέραν τοῦ Πινάρου*[4]) *ποταμοῦ ἐτετάχει, ὅπως ἡ ἔκταξις*[5]) *τῆς στρατιᾶς ἀσφαλῶς γένοιτο.* 6. *Οἱ τριάκοντα ἰδίων κερδῶν ἕνεκα πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μησὶν ἢ πάντες Πελοποννήσιοι δέκα ἔτη πολεμοῦντες.* 7. *Δεσπόται πεφήνασιν οἱ Λακεδαιμόνιοι τῶν συμμάχων ἐλευθέρων πρότερον γενομένων.*

B. 1. Er hatte geordnet. Wir haben auferzogen (genährt). Hattet ihr geschickt? Sie hatte geschickt. Sie waren erschienen. Hast du gezeigt? Wem habt ihr erlaubt?

2. Was ich geschrieben habe, das habe ich geschrieben. 3. Der König glaubt Sieger zu sein[6]), da er Kyros getötet hat. 4. Wir wissen (haben) dir Dank, daß du uns den Weg gezeigt hast. 5. Durch die Hinrichtung[7]) des Sokrates haben die Athener selbst den größten Schaden erlitten[8]). 6. Dem Körper hat die Natur aufgetragen zu dienen, der Seele aber zu herrschen.

NB. Hier kann Nr. 88 gelesen werden.

---

[1]) *κατ' ἔτος.* [2]) Gen. absol. [3]) Vgl. Regel 24, b. [4]) Fluß bei Issus in Kilikien (unten S. 97). [5]) die Aufstellung. [6]) zu siegen, Inf. Präs. [7]) Part. Perf., *ἀπο-κτείνω.* [8]) sind am meisten geschädigt worden.

77. Krösus und Adrastus.

Μετὰ Σόλωνα οἰχόμενον ἔλαβεν ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον, ὅτι ἐνόμισεν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατος· αὐτίκα δ' αὐτῷ καθεύδοντι ὄνειρος τὴν ἀλήθειαν ἔφηνε τῶν μελλόντων κακῶν κατὰ[1]) *τὸν παῖδα. Ἦσαν γὰρ τῷ Κροίσῳ δύο παῖδες, ὧν ὁ μὲν ἕτερος διέφθαρτο*[2]) *(ἦν γὰρ κωφός), ὁ δὲ ἕτερος τῶν ἡλικιωτῶν τὰ πάντα*[3]) *πρῶτος ἐγένετο· ὄνομα δ' αὐτῷ ἦν Ἄτυς*[4]). *Τοῦτον δὴ τὸν Ἄτυν ἐσήμηνε τῷ Κροίσῳ ὄνειρος, ὡς τελευτήσει αἰχμῇ σιδηρᾷ ἀκοντισθείς. Ὁ δὲ ἐπεὶ ἐξηγέρθη, ταραχθεὶς τῷ ὀνείρατι, ἄγεται τῷ παιδὶ γυναῖκα, ἀκόντια δὲ καὶ δόρατα καὶ τὰ τοιαῦτα πάντα ἐκ τῶν βασιλείων ἐξεκόμισεν, μή τι τὸν παῖδα βλάψειεν.*

Παρασκευάζοντος[5]) *δὲ τὸν γάμον τοῦ παιδὸς ἀφικνεῖται εἰς τὰς Σάρδεις ἀνὴρ συμφορᾷ ἐμπεπλεγμένος*[6]) *καὶ μεμιασμένος τὰς χεῖρας, ὢν Φρὺξ μὲν γενεᾷ, γένους δὲ βασιλείου. Παρελθὼν δὲ οὗτος εἰς τὴν Κροίσου οἰκίαν κατὰ νόμους τοὺς ἐπιχωρίους ἐδεῖτο*[7]) *καθαρθῆναι, Κροῖσος δ' αὐτὸν ἐκάθηρεν. Ἐπεὶ δὲ τὰ νομιζόμενα*[8]) *ἐποίησεν ὁ Κροῖσος, ἠρώτησεν, ὁπόθεν τε καὶ τίς εἴη, λέγων τάδε· „Ὦ ἄνθρωπε, τίς τε ὢν καὶ πόθεν τῆς Φρυγίας ἥκων ἐφέστιος*[9]) *ἐμοὶ ἐγένου; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;" Ὁ δὲ ἀπεκρίνατο· „Ὦ βασιλεῦ, Γορδίου μὲν τοῦ Μίδου εἰμὶ παῖς, ὀνομάζομαι δὲ Ἄδραστος· φονεύσας δὲ ἀδελφὸν ἐμαυτοῦ ἄκων, πάρειμι πεφυγαδευμένος ὑπὸ τοῦ πατρὸς καὶ ἐστερημένος πάντων". Κροῖσος δ' αὐτῷ ἀπεκρίνατο τάδε· „Ἀνδρῶν τε φίλων τυγχάνεις ἔκγονος ὢν*[10]) *καὶ ἥκεις εἰς φίλους, ἔνθα ἀπορῶν μὲν χρήματος οὐδενὸς μενεῖς· τὴν συμφορὰν δὲ ταύτην ὡς κουφότατα φέρων κερδανεῖς πλεῖστα."*

Οὗτος μὲν δὴ παρὰ Κροίσῳ ᾤκει, ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ ἐλθόντες παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι ἔλεγον τάδε· „Ὦ βασιλεῦ, σῦς μέγιστος ἐφάνη ἡμῖν ἐν τῇ χώρᾳ, ὃς τοὺς ἀγροὺς διαφθείρει· τοῦτον ζωγρῆσαι[11]) *οὐχ οἷοί τε ἦμεν*[12]). *Νῦν οὖν αἰτούμεθά σε, τὸν παῖδα καὶ νεανίας ἐξαιρέτους*[13]) *καὶ κύνας συμπέμψαι ἡμῖν, ὅπως αὐτὸν φυγαδεύσωμεν ἐκ τῆς χώρας". Κροῖσος*

---

1) in betreff. 2) hier „war beschädigt, verstümmelt, verkrüppelt". 3) Gr. § 153 (138). 4) Vgl. Gr. § 168. A. 2 (154. A.). 5) sc. *αὐτοῦ*. 6) *ἐμ-πλέκω* verflechte, verwickle. 7) *δέομαι* bitte. 8) die üblichen Sühngebräuche. 9) Schutzflehender (vgl. Nr. 78, A. 11). 10) *τυγχάνω ὤν* ich bin (gerade, zufällig). Gr. § 219 (198), 1. a. 11) *ζωγρέω* fange lebendig. 12) eramus. 13) *ἐξαίρετος*, 2. auserwählt.

δὲ μνήμων τοῦ ὀνείρατος οὐκ ἐβούλετο συμπέμψαι τὸν υἱόν· ὁ δὲ ἀκούσας τὸ πρᾶγμα πολλὰ ἐδεῖτο[1]), λέγων, ἐπεὶ οὐ πρὸς ἄνδρας γίγνοιτο ἡ μάχη, τὸν πατέρα μάτην[2]) φοβεῖσθαι αἰχμὴν σιδηρᾶν.

Πεισθεὶς οὖν τοῖς Ἄτυος λόγοις μεταπέμπεται Κροῖσος τον Φρύγα Ἄδραστον, ἀφικομένῳ δ' αὐτῷ λέγει τάδε· „Ἐγώ σε ἐμπεπλεγμένον[3]) συμφορᾷ, ἥν σοι οὐκ ὀνειδίζω, ἐκάθηρα, καὶ οἰκίᾳ δεξάμενος παρέχω πᾶσαν δαπάνην· νῦν οὖν φύλακα παιδός σε τοῦ ἐμοῦ χρῄζω γενέσθαι εἰς θήραν ὁρμωμένου, ὅπως μή τινες κακοῦργοι καθ' ὁδὸν φανέντες βλάψωσιν ὑμᾶς“. Ὁ δὲ ταῦτα ποιεῖν ἕτοιμος ἦν καί· „Παῖδα τὸν σόν“, ἔφη, „ὃν κελεύεις με φυλάττειν, ἀβλαβῆ τοῦ φυλάττοντος ἕνεκα[4]) ἐπανελθεῖν πέπεισο“. Ἐλθόντες οὖν εἰς τὸν Ὄλυμπον[5]) τὸ ὄρος ἐζήτουν τὸ θηρίον, ἰχνεύσαντες[6]) δὲ ἐκυκλοῦντο καὶ ἠκόντιζον. Ἔνθα δὴ[7]) Ἄδραστος, ὁ ξένος, ἀκοντίζων τὸν ὗν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός.

Ἔθει δέ τις ἀγγελῶν τῷ Κροίσῳ τὴν συμφοράν, ἀφικόμενος δὲ εἰς τὰς Σάρδεις τήν τε μάχην καὶ τὴν τοῦ παιδὸς τύχην ἐσήμηνεν αὐτῷ. Ὁ δὲ Κροῖσος τῷ θανάτῳ τοῦ παιδὸς τεταραγμένος μάλιστ' ἐχαλέπαινεν, ὅτι τὸν υἱὸν ἀπέκτεινεν ἐκεῖνος, ὃν αὐτὸς φόνῳ μεμιασμένον ἐκάθηρεν. Μετ' ὀλίγον δὲ χρόνον παρεγένοντο μὲν οἱ Λυδοὶ φέροντες τὸν νεκρόν, ὄπισθεν δὲ ἑπόμενος παρεγένετο καὶ ὁ φονεύς. Ἐλθὼν δὲ πρὸ τοῦ νεκροῦ ἐπέτρεπεν ἑαυτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας καὶ κατασφάξαι αὐτὸν κελεύων ἐπὶ τῷ τοῦ τετελευτηκότος τάφῳ.

Ἀκούσας δὲ ταῦτα ὁ Κροῖσος αὐτὸν οἰκτίρει, καίπερ[8]) ὢν ἐν κακῷ οἰκείῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτόν. „Ἔχω, ὦ ξένε, παρὰ σοῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεαυτοῦ καταγιγνώσκεις[9]) θάνατον· ἀλλ'. οὐ σύ μοι τοῦδε τοῦ κακοῦ αἴτιος εἶ[10]), ἀλλὰ θεῶν τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλλοντα.“ Κροῖσος μὲν οὖν ἔθαψε τὸν ἑαυτοῦ παῖδα· Ἄδραστος δέ, φονεὺς μὲν τοῦ ἑαυτοῦ ἀδελφοῦ γενόμενος, φονεὺς δὲ τοῦ Ἄτυος, τοῦ παιδὸς τοῦ καθήραντος, ἐπεὶ ἡσυχία τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, πάντων ἀνθρώπων δυστυχέστατος εἶναι οἰόμενος, ἐπὶ τῷ τάφῳ κατέσφαξεν ἑαυτόν.

---

1) δέομαι bitte. 2) umsonst. 3) ἐμ-πλέκω verflechte, verwickle. 4) d. h. soviel an seinem Wächter liegt. 5) Berg an der Grenze von Mysien und Phrygien. 6) ἰχνεύω spüre auf. 7) da nun. Gr. § 75 (69), A. 1. 8) obgleich; R. 30. 9) καταγιγνώσκω τινὸς θάνατον erkenne gegen jem. auf Tod, verurteile jemd. zum Tod. 10) du bist.

Besonderheiten in der Konjugation der regelmäßigen Verba auf -ω.

78. Augment und Reduplikation. Gr. § 100 (88).

A. 1. *Οἱ Εἵλωτες τοῖς Λακεδαιμονίοις εἰργάζοντο τὴν γῆν.* 2. *Αἱ ἐλαῖαι τοῖς τὴν Ἀττικὴν γῆν οἰκοῦσι μεγάλην ὠφέλειαν παρεῖχον.* 3. *Μνάσιππος ἐδῄου τὴν τῶν Κερκυραίων χώραν κάλλιστα εἰργασμένην καὶ πεφυτευμένην.* 4. *Ὁ Ἀλκμήνης ἐν Ἁλιάρτῳ τάφος Ἀγησιλάου κελεύσαντος ἀνεῴχθη.* 5. *Οἱ Λακεδαιμόνιοι καὶ οἱ Κρῆτες συμποσίων ἀπείχοντο.* 6. *Θαλῆς ἐρωτηθείς, τί παραδοξότατον*[1]) *εἴη ἑωρακώς, ἀπεκρίνατο· „τύραννον γέροντα“.* 7. *Σωκράτης ἐν τῷ δεσμωτηρίῳ πολλὰ διελέχθη τοῖς φίλοις περὶ τοῦ θανάτου καὶ τῆς ψυχῆς.* 8. *Πᾶσιν ἀνθρώποις ὥρισται ἀποθανεῖν, ἀλλ' ἀγνοοῦσι*[2]) *πάντες, τίνι ἡμέρᾳ αἱ ἐν Ἅιδου πύλαι ἑκάστῳ ἀνεῳγμέναι εἰσίν.* 9. *Τῶν ἄλλων εἰωθότων ἐν τοῖς δικαστηρίοις πρὸς χάριν τε τοῖς δικασταῖς διαλέγεσθαι καὶ δεῖσθαι παρὰ τοὺς νόμους, Σωκράτης οὐδὲν ἐβούλετο τῶν εἰωθότων ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους ποιῆσαι.* 10. *Ἐοίκατε τυραννίσι μᾶλλον, ὦ Λακεδαιμόνιοι, ἢ πολιτείαις*[3]) *ἥδεσθαι.* 11. *Θεμιστοκλῆς, παρ' Ἄδμητον τὸν Μολοσσῶν βασιλέα ἐλθών, ἱκέτης γενόμενος ἐπὶ τὴν ἑστίαν ἐκαθέζετο.* 12. *Οὐκ ἠνείχοντο οἱ Ἀθηναῖοι τῶν ῥητόρων ἀληθευόντων καὶ ἐπιτιμώντων τοῖς τοῦ δήμου ἁμαρτήμασιν.* 13. *Οὐκ ἠναντιώθη Σωκράτει τὸ εἰωθὸς ἐκ τοῦ θεοῦ σημεῖον διὰ πάσης τῆς δίκης*[4]). 14. *Ἐπεὶ οἱ Ἕλληνες ἑώρων ἐπὶ τοῦ ὄρους τοὺς Καρδούχους πολλοὺς συνειλεγμένους ἐν τοῖς ὅπλοις, πολλὴ αὐτοῖς ἐνέπεσεν ἀθυμία.*

15. *Κρύψῃς πρὸς ἡμᾶς μηδέν, ὧν*[5]) *ἀκήκοας.*

B. 1. Die Gorgonen[6]) hatten eherne Hände und goldene Flügel. 2. Die reichen Athener hielten viele Sklaven, welche das Land bearbeiteten. 3. Die Perser gewöhnten ihre Söhne und Töchter von Jugend auf[7]), immer die Wahrheit zu reden. 4. Dem Alexander folgten die Soldaten, wohin[8]) er nur[8]) wollte. 5. Themistokles schlief nicht wegen des Ruhmes des Miltiades. 6. Wer möchte sich nicht gern [mit] weisen Männern

---

[1]) *παράδοξος*, 2. unerwartet. [2]) *ἀγνοέω* weiß nicht. [3]) hier: Verfassungsstaat, Freistaat. [4]) *ἡ δίκη* die Gerichtsverhandlung. [5]) s. v. a. *τούτων, ἅ.* [6]) *αἱ Γοργόνες.* [7]) a pueris: S. 38, 11. [8]) *ὅποι* m. Opt.

unterreden? 7. Sokrates war gewohnt, auch Dinge zu fragen, die er besser wußte (kannte) als die Gefragten. 8. Kerberos bewachte die Thore des Hades und ließ keinen zum Licht emporsteigen[1]). 9. Aristides hatte gehört, daß die aus dem Peloponnes die Schiffe zum Isthmus zu führen sich beeilen[2]). 10. Neoptolemus glich seinem Vater in allem[3]). 11. Die meisten Athener ertrugen es nicht, die Wahrheit zu hören[2]). 12. Sokrates allein widersetzte sich der gesetzwidrigen Verurteilung[4]) der Feldherrn.

79. Fut. und Aor. — Futurum exactum od. Fut. Perfekti. Gr. § 101 u. 86 (89 u. 78, 7).

A. 1. *Σόλων ἔλεγεν οὐδένα μακαριεῖν, πρὶν ἂν εὖ τελευτήσῃ τὸν βίον.* 2. *Ὅτῳ δοκεῖ ταῦτα, ἀράτω τὴν χεῖρα.* 3. *Ἐπειδὰν τελευτήσωμεν, οἱ λόγοι οἱ περὶ ἡμῶν σεσιγήσονται.* 4. *Ἐπεὶ Ξενοφῶν ἐσπείσατο πρὸς τοὺς βαρβάρους, ἐπηγγείλαντο διαβιβᾶν τοὺς Ἕλληνας εἰς τὸ πέραν τοῦ ποταμοῦ.* 5. *Μὴ φρόντιζε μόνον, ὅπως τὸ σῶμα γυμνάσεις, ἀλλὰ καὶ ὅπως τὴν ψυχὴν ἐθιεῖς σπουδάσαι περὶ τὴν ἀρετήν· οὕτω γὰρ ἀσφαλῆ ἀγαθὰποριῇ.* 6. *Μίλων ὁ ἐκ Κρότωνος ἀθλητὴς ταῦρον ἀράμενος ἐν Ὀλυμπίᾳ ἔφερε διὰ μέσου τοῦ σταδίου*[5]). 7. *Χάριν κομιεῖσθε*[6]) *καὶ ἔπαινον, εἰ τοῖς ἀνθρώποις μὴ μόνον λόγοις, ἀλλὰ καὶ ἔργοις ἀποφανεῖσθε εὔνοιαν.* 8. *Παυσανίας ἐπαρθεὶς ταῖς εὐτυχίαις τὴν τῶν Περσῶν τροφὴν καὶ σκευὴν ἐμιμήσατο.* 9. *Τῷ πολέμῳ τά τε χρήματα καὶ αἱ ψυχαὶ κεκινδυνεύσονται*[7]). 10. *Οἱ ὑπὲρ τῆς πατρίδος τελευτήσαντες ἀεὶ τετιμήσονται.* 11. *Φίλος ἡμῖν οὐδεὶς λελείψεται.* 12. *Ἐπίταξον καὶ πεπράξεται.* 13. *Εἰ ἐθέλεις ἐκτὸς δούλων εἶναι, αὐτὸς ἀπόλυσαι δουλείας· ἀπολελύσῃ δὲ δουλείας, ἐὰν ἀπολυθῇς ἐπιθυμίας.*

B. 1. Gott wird alles herrlich vollenden; denn nichts ist ihm unmöglich. 2. Wie[8]) ihr säen werdet, so werdet ihr ernten[9]). 3. Was[8]) jemand durch Unrecht erworben hat, wird schnell zu Grunde gehen. 4. Nachdem Arion herrlich gesungen hatte, sprang er aus dem Schiffe ins Meer. 5. Viele schon, welche das Glück erhoben hatte[10]), brachte

---

[1]) *ἀνέρχομαι*, Aor. [2]) Part. [3]) Acc. der Beziehung: S. 51, 8 u. S. 72, 3. [4]) *ἡ κατάγνωσις.* [5]) durch die Mitte der R. Gr. § 141 (120), 2. [6]) *κομίζομαι* bringe mir, erwerbe mir, ernte. [7]) *κινδυνεύω* hier: setze aufs Spiel, gefährde. [8]) Relativ mit *ἄν* und Konj., Regel 24, b. [9]) *θερίζω.* [10]) Opt. Aor.

der Hochmut[1]) zu Fall. 6. Die Perser kamen [mit] großem Heere, um Athen zu vernichten. 7. Versuche die Güter zu erwerben, welche du immer besitzen wirst. 8. Die ganze Rüstung wird mit euch im Grabe ruhn[2])! 9. Schöne Thaten werden niemals ganz vernichtet werden, sondern das Andenken und der Ruhm derselben werden für[3]) immer bleiben[4]).

80. Verba contracta. Gr. § 89, 3. 4. 5 u. 102, 1 (90, 1—3).

A. 1. *Οὐ πολὺν χρόνον ζῶμεν, ἡ δὲ ψυχὴ ἀθάνατος ζῇ διὰ παντός*[5]). 2. *Κορσωτὴ*[6]) *ἡ πόλις περιερρεῖτο ὑπὸ τοῦ Μάσκα*[7]) *ποταμοῦ κύκλῳ*. 3. *Οἱ Μασσαγέται τὴν γῆν οὔτ' εἰργάζοντο οὔτε ἔσπειρον, ἀλλ' ἀπὸ βοσκημάτων*[8]) *ἔζων καὶ ἰχθύων*. 4. *Πῶς ἂν ἄριστα καὶ δικαιότατα ζῷμεν; Ἐάν, ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν*. 5. *Ἐβουλεύσαντο, εἰ Κῦρον πλοῖα αἰτοῖεν, ἵνα οἴκαδε ἀποπλέοιεν*. 6. *Ὅταν βορρᾶς*[9]) *πνέῃ, καλοὶ οἱ πλοῖ εἰσιν ἐκ τοῦ Πόντου εἰς τὴν Ἑλλάδα*. 7. *Κῦρος τοσοῦτον χρόνον ηὔχετο ζῆν, ἕως νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας*. 8. *Αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται*. 9. *Κίμων ὁ Μιλτιάδου τὰ χρήματα ἐκτᾶτο μέν, ἵνα χρῷτο, ἐχρῆτο δέ, ἵνα τιμῷτο*. 10. *Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς ἄλλοις φίλοις· καὶ σοὶ γὰρ χρήσεται οὕτως, ὡς ἐκείνοις ἐχρήσατο*. 11. *Διογένης παντὶ τόπῳ ἐχρῆτο εἰς πάντα, ἀριστῶν τε καὶ καθεύδων καὶ διαλεγόμενος*.

12. *Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.*
13. *Θεοῦ βίον ζῆν ἄξιοῖς ἄνθρωπος ὤν;*
14. *Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς*[10]) *πλέοις.*

B. 1. Sterben ist das beste, wenn du unglücklich lebst. 2. Den möchte ich wohl nicht beneiden, der Reichtum zwar erwirbt, aber nicht[11]) gebraucht. 3. Von der Zunge des Nestor strömte die Rede süßer[12]) als Honig[13]). 4. Die Tyrier beschlossen, zur See zu kämpfen, wenn Alexander gegen sie heranführe. 5. Brauche die Ohren mehr als die Zunge!

---

[1]) das Stolzsein, Inf. [2]) d. i. begraben worden sein. [3]) *εἰς*. [4]) *λείπομαι*. [5]) sc. *τοῦ αἰῶνος*, d. i. ewig. [6]) Stadt in Mesopotamien. [7]) *ὁ Μάσκας, α*. Gr. § 35, 4 (29, 3). [8]) *τὸ βόσκημα* Viehherde, Vieh. [9]) *ὁ βορρᾶς* der Nordwind. § 125 (60). [10]) *ἡ ῥίψ, πός* das Schilfrohr, die Binsenmatte. [11]) *οὐκ, οὐδέ* oder *μή, μηδέ*? [12]) Adj. [13]) *τὸ μέλι, τος*.

6. Die Phryger bedienten sich der Eide nicht. 7. Wir unterstützen seine Mutter, solange[1]) sie lebt. 8. Schön ist es, Freunde zu haben, schlimmer aber, ihrer zu bedürfen. 9. Oft thut Gott Großes, indem er sich eines kleinen und schwachen Mannes bedient. 10. Wozu[2]) bedürfte der Gerechte wohl eines Gesetzes? 11. Komm denen zu Hülfe, die der Hülfe bedürfen!

81. Gr. § 102, 2—5 (90, 4—7).

A. 1. *Μὴ γελάσῃς ἐπ' ἄλλων ἀτυχίᾳ.* 2. *Οὐ πάντα ἀνθρώπῳ τελεσθείη ἂν κατὰ γνώμην.* 3. *Ἱστιαῖος εἰς Χίον ἐλθὼν ἐδέθη ὑπὸ Χίων.* 4. *Ὁ μηδὲν ἀδικῶν τοὺς ἄρχοντας αἰδέσεται, ἀλλ' οὐ φοβήσεται.* 5. *Τὸ δεθὲν πᾶν λυτόν ἐστιν.* 6. *Ὥσπερ τὸ σῶμα τῆς ψυχῆς ἐστερημένον πίπτει, οὕτω καὶ πόλις ἂν νόμων μὴ ὄντων καταλυθείη.* 7. *Εἴκοσι καὶ τετρακόσιοι Σπαρτιᾶται ὑπὸ τῶν Ἀθηναίων κατεκλείσθησαν ἐν Σφακτηρίᾳ.* 8. *Πάντας ὑμᾶς ἐπῄνεσεν ὁ στρατηγός· τὸ γὰρ γενόμενον ἔργον πᾶσιν ὑμῖν*[3]) *καλὸν τετέλεσται.* 9. *Λέγουσι μετὰ τὴν ἐν Μαραθῶνι μάχην ἐν Ἀθήναις τυθῆναι πεντακοσίας αἶγας.* 10. *Τὰ τοῖς νόμοις κεκελευσμένα τελεσθήτω, ἐάν τε ἡδέα ᾖ ἐάν τε*[4]) *πικρά.* 11. *Δεινὴ ὕβρις ἐνομίζετο, τὸν ἱκέτην βίᾳ ἀποσπάσαι τοῦ βωμοῦ.* 12. *Οἱ ἄνθρωποι εἰώθασιν ἀνδρὶ εὐκλεεῖ ζῶντι μὲν φθονῆσαι, ἀποθανόντα δὲ ἐπαινέσαι.*

13. *Ἄλλῳ πονοῦντι ῥᾴδιον παραινέσαι.*

B. 1. Überlege langsam, vollende aber schnell. 2. Ich werde den nicht loben, der Gutes spricht, aber Böses thut. 3. Aktäon soll von seinen eigenen Hunden zerrissen worden sein. 4. Die von dem Feldherrn geopferten Tiere waren den Göttern angenehm. 5. Fürchte nichts, alles wird gut und schön vollendet werden. 6. Arkadien ist rings von Bergen umschlossen. 7. Prometheus war viele Jahre an den Kaukasus[5]) gefesselt. 8. Was immer von den Feldherrn befohlen sein wird[6]), das sollt ihr nicht beurteilen, sondern möglichst schnell ausführen. 9. Es macht keinen Unterschied, ob[7]) man mit Gold oder Eisen gefesselt sei[7]). 10. Deine Thore sollen dem Schutzflehenden nicht verschlossen sein!

---

[1]) Reg. 23. 24. b. [2]) *τί;* Gr. § 153 (138). [3]) s. v. a. *ὑπὸ πάντων ὑμῶν.* Gr. § 168, 2. b. (154, 2). [4]) *ἐάν τε .... ἐάν τε* sive — sive. [5]) *ὁ Καύκασος τὸ ὄρος.* [6]) Regel 24, b. [7]) Inf. Perf.

82. Verba mit verschiedenen Besonderheiten. Gr. § 103 (91).

A. 1. Ὀρέστης τὴν μητέρα ἀπεκτονὼς ὑπὸ τῶν ἐξ Ἀρείου πάγου[1]) ἐκρίθη. 2. Τέταται ἤδη τὰ ἱστία· ταχέως ὁ πλοῦς περανθήσεται. 3. Φυγαδεύετε ἐκ τῶν ψυχῶν τὰς πρὸς τὰ κακὰ κεκλιμένας ἐπιθυμίας. 4. Σεύθης ὁ τῶν Ὀδρυσῶν βασιλεὺς Ξενοφῶντα καὶ τοὺς ἄλλους τῶν Ἑλλήνων ἡγεμόνας εἰς δεῖπνον ἐκάλεσεν. 5. Τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας, τὰ δ' ὑμέτερ' ἀποβεβληκότες ἡσυχάζετε. 6. Ἀεὶ ἡ σοφία ἄριστον κτῆμα κέκριται καὶ κριθήσεται ὑπὸ σωφρόνων. 7. Τὸ σημεῖον τῶν Περσικῶν βασιλέων ἦν ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. 8. Ἐξ· αἰσχρῶν κερδῶν τοὺς πλείονας βλέψειας ἂν διεφθαρμένους ἢ σεσωσμένους. 9. Ἠρώτησαν, ὅτου ἕνεκα τὰ πυρὰ κατακεκαυμένα εἴη. 10. Σιλανὸς ὁ μάντις σεσωκὼς τοὺς τρισχιλίους δαρεικούς, οὓς παρὰ Κύρου ἔλαβεν, ἐβούλετο ὡς τάχιστα εἰς τὴν Ἑλλάδα ἀφικέσθαι. 11. Θρᾳκῶν τοῖς εὐδαίμοσι ταφαί εἰσιν αἵδε· τρεῖς μὲν ἡμέρας ἐν φανερῷ[2]) ἀποφαίνουσι τὸν νεκρόν, καὶ παντοῖα σφάξαντες ἱερεῖα εὐωχοῦνται[3]), κλαύσαντες πρῶτον· ἔπειτα δὲ θάπτουσι κατακαύσαντες ἢ γῇ κρύψαντες, χῶμα δὲ χώσαντες[4]) ἀγῶνας ποιοῦσι παντοίους, ἐν οἷς μέγιστα ἆθλα προπέφανται[5]) τοῖς νενικηκόσιν.

12. Ἀεὶ (δ') ὁ σωθεὶς ἐστιν ἀχάριστος φύσει.
13. Οὔτινος δοῦλοι κεκλήμεθ' ἀνδρὸς οὐδ' ὑπήκοοι.

B. 1. Richtet[6]) nicht, damit ihr nicht gerichtet werdet[6])! 2. Die Athener verbrannten die Bücher des Protagoras auf dem Markte. 3. Sokrates wollte lieber ungerecht sterben[6]), als gegen das Gesetz gerettet werden[6]). 4. Oft dürften ein Freund und ein Schmeichler schwer unterschieden werden[6]). 5. Nicht allen gefiel deine weit[7]) ausgedehnte Rede. 6. Eines persischen Mannes Leichnam wird nicht bestattet, bevor[8]) er von einem Hunde oder Vogel zerfleischt ist[7]). 7. Wer die Freiheit rettet[8]), den werden die Dichter verherrlichen[9]). 8. Wir hoffen, daß du der tapferste Mann des Heeres heißen wirst. 9. Mit Leichtigkeit hat Odysseus den Bogen gespannt, welchen die Freier umsonst[10]) zu spannen versucht hatten[6]). 10. Wenn du das thust, wirst du bei allen Wackern ein Feigling heißen.

---

[1]) οἱ ἐξ Ἀρείου πάγου die Richter auf dem A. [2]) öffentlich. [3]) εὐωχέομαι schmause. [4]) χῶμα χοῦν einen Grabhügel aufwerfen. [5]) hier „ausgesetzt sind"; wörtlich? [6]) Aor. [7]) μακράν. [8]) Regeln 23 u. 24. [9]) λαμπρύνω. [10]) μάτην.

83. Duale (Gr. § 95). — Zweite attische Deklination. Gr. § 41 (35).

A. 1. *Φινεὺς ὁ μάντις τὼ ὀφθαλμὼ πεπηρωμένος*[1]) *ἦν, ὥσπερ καὶ Τειρεσίας ὁ Θηβαῖος.* 2. *Ὁ Ἅλυς ποταμὸς τὸ εὖρος οὐ μεῖον δυοῖν σταδίοιν ἐστιν.* 3. *Ἀδύνατον ἐστι δυοῖν δεσπόταιν δουλεῦσαι.* 4. *Ἡρόδωρος ὁ Μεγαρεὺς σαλπίζων*[2]) *ἅμα δυοῖν σαλπίγγοιν ἐνίκησεν ἑκκαιδεκάκις.* 5. *Τί ἐστι φιλία; Μία ψυχὴ ἐν δυοῖν σωμάτοιν.* 6. *Τὼ Ξενοφῶντος παῖδε, Γρύλλος καὶ Διόδωρος, ἐπεπαιδευσθην ἐν Σπάρτῃ.* 7. *Ἐν τοῖς Μηδικοῖς*[3]) *Λεωνίδας καὶ Θεμιστοκλῆς μάλιστα ἐθαυμασθήτην καὶ ἐπῃνεθήτην.* 8. *Καμβύσης καὶ Ξέρξης, τὼ τῶν Περσῶν τυράννω, πολλὰ σφαλέντε ἀπεθανέτην.* 9. *Χειρίσοφος μὲν ἡγεῖτο Λακεδαιμόνιος ὤν, τῶν δὲ κεράτων ἑκατέρων δύο τὼ πρεσβυτάτω στρατηγὼ ἐπεμελέσθην, Ξενοφῶν δὲ καὶ Τιμασίων οἱ νεώτατοι ὠπισθοφυλακείτην*[4]). 10. *Φίλιππος γενόμενος κριτὴς δυοῖν πονηροῖν ἐκέλευσε τὸν μὲν φεύγειν ἐκ Μακεδονίας, τὸν δὲ ἕτερον διώκειν.* 11. *Ἀλυάττης πολεμῶν τοῖς Μιλησίοις λήιόν*[5]) *τι ἧψεν· ἡ δὲ φλὸξ ἀνέμῳ προαχθεῖσα ἥψατο τοῦ Ἀθηνᾶς νεώ, ἀφθεὶς δὲ ὁ νεὼς κατεκαύθη.* 12. *Τῆς Σικελίας τὰ μὲν πρὸς ἕω κεκλιμένα μέρη ᾤκουν Σικελοί, τὰ δὲ πρὸς ἑσπέραν Σικανοί.* 13. *Πρωτεὺς ὑπὸ Μενέλεω ἠναγκάσθη μαντεύσασθαι αὐτῷ.* 14. *Οἱ Πελοποννήσιοι ἡττηθέντες ἅμα ἕῳ ἔπλεον ἐπὶ τὴν ἑαυτῶν γῆν.*

15. *Εἰ ἐθέλεις τοὺς θεοὺς σοὶ ἵλεως εἶναι, θυτέον τοῖς θεοῖς.*

B. 1. Zweier Zeugen Mund[6]) thut alle Wahrheit kund. 2. Versuche nie, zweier Freunde Richter zu sein! 3. Von den Athenern wurden besonders Athene und Poseidon geehrt. 4. Diese beiden Knaben sind von demselben Lehrer erzogen worden. 5. Die Perser verbrannten in Griechenland sogar die Tempel. 6. In dem griechischen Heere waren am meisten von allen die beiden Brüder Agamemnon und Menelaus geehrt. 7. Achilleus und Patroklus waren (wurden) von Jugend auf Freunde; sie waren nämlich zusammen erzogen worden im Hause des Peleus. 8. Die Inder wohnten gegen Osten. 9. Kleobis und Biton zogen den Wagen der Mutter zum Tempel der Hera. 10. Die Griechen verehrten ihre Götter in Tempeln; die Perser dagegen hatten keine (nicht) Tempel.

---

[1]) *πηρόω* verstümmle. [2]) *σαλπίζω* trompete. [3]) S. 37, 8. [4]) *ὀπισθοφυλακέω* führe die Nachhut. [5]) *τὸ λήιον* das Saatfeld. [6]) d. i. zwei Zeugen.

84. Die Zehntausend im Lande der Makronen.

Ἐκ τῶν Σκυθηνῶν[1]) *ἐπορεύθησαν οἱ Ἕλληνες διὰ Μακρώνων σταθμοὺς τρεῖς, παρασάγγας δέκα. Τῇ πρώτῃ δὲ ἡμέρᾳ ἀφίκοντο ἐπὶ τὸν ποταμόν, ὃς ὥριζε τὴν τῶν Μακρώνων καὶ τὴν τῶν Σκυθηνῶν χώραν. Εἶχον δὲ ὑπὲρ δεξιῶν χωρίον ὡς χαλεπώτατον καὶ ἐξ ἀριστερᾶς ἄλλον ποταμόν, εἰς ὃν ἐνέβαλλεν ὁ ὁρίζων, δι' οὗ ἔδει πορευθῆναι. Ἦν δὲ οὗτος δασὺς δένδροις παχέσι μὲν οὔ, πυκνοῖς δέ. Ταῦτ', ἐπεὶ προσῆλθον, οἱ Ἕλληνες ἔκοπτον, σπεύδοντες ἐκ τοῦ χωρίου ὡς τάχιστα ἐξελθεῖν. Οἱ δὲ Μάκρωνες ἔχοντες γέρρα καὶ λόγχας καὶ τριχίνους*[2]) *χιτῶνας, πέραν τῆς διαβάσεως παρατεταγμένοι ἦσαν καὶ ἀλλήλοις διεκελεύοντο καὶ λίθους εἰς τὸν ποταμὸν ἔρριπτον· ἐξικνοῦντο γὰρ οὔ, οὐδ' ἔβλαπτον οὐδέν.*

Ἔνθα δὴ[3]) *προσέρχεται Ξενοφῶντι τῶν πελταστῶν ἀνὴρ Ἀθήνησι*[4]) *φάσκων*[5]) *δεδουλευκέναι, λέγων ὅτι γιγνώσκοι τὴν φωνὴν τῶν ἀνθρώπων. Καὶ οἶμαι, ἔφη, ἐμὴν ταύτην*[6]) *πατρίδα εἶναι· καὶ εἰ μή τι κωλύει, ἐθέλω αὐτοῖς διαλεχθῆναι. Ἀλλ' οὐδὲν κωλύει, ἔφη, ἀλλὰ διαλέγου καὶ ἐρώτησον πρῶτον, τίνες εἰσίν. Οἱ δ' ἔλεξαν ἐρωτήσαντος*[7]), *ὅτι*[8]) *Μάκρωνες. Ἐρώτα τοίνυν*[9]), *ἔφη, αὐτούς, τί ἀντιτεταγμένοι εἰσὶ καὶ χρῄζουσιν ἡμῖν πολέμιοι εἶναι. Οἱ δ' ἀπεκρίναντο· Ὅτι καὶ ὑμεῖς ἐπὶ τὴν ἡμετέραν χώραν ἔρχεσθε. Λέγειν ἐκέλευον οἱ στρατηγοί, ὅτι*[8]) *οὐ κακῶς γε ποιήσοντες, ἀλλὰ βασιλεῖ πολεμήσαντες ἀπερχόμεθα εἰς τὴν Ἑλλάδα, καὶ ἐπὶ θάλατταν βουλόμεθα ἀφικέσθαι. Ἠρώτων ἐκεῖνοι, εἰ πορίσειαν ἂν τούτων τὰ πιστά*[10]). *Οἱ δ' ἔλεξαν πορίσαι τε καὶ λαβεῖν ἐθέλειν. Ἔπειτα πορίζουσιν οἱ Μάκρωνες βαρβαρικὴν λόγχην τοῖς Ἕλλησιν, οἱ δὲ Ἕλληνες ἐκείνοις Ἑλληνικήν· ταῦτα γὰρ ἔλεξαν πιστὰ εἶναι· θεοὺς δὲ μάρτυρας ἐπεκαλέσαντο ἑκάτεροι.*

Μετὰ δὲ τὰ πιστὰ εὐθὺς οἱ Μάκρωνες τὰ δένδρα συνεξέκοπτον[11]) *τήν τε ὁδὸν ὡδοποίουν ὡς διαβιβῶντες ἐν μέσοις τεταγμένοι τοῖς Ἕλλησι, καὶ ἀγορὰν παρεῖχον, καὶ προήγαγον ἐν τρισὶν ἡμέραις, ἕως ἐπὶ τοὺς Κόλχων ὅρους ἔπεμψαν τοὺς Ἕλληνας.*

---

[1]) aus dem Gebiete der S.; *Σκυθηνοί* und *Μάκρωνες* wohnten im nordwestl. Armenien, südlich von Trapezunt. [2]) *τρίχινος*, 3. von Haaren (*θρίξ*), hären. [3]) da nun. Gr. § 75 (69), A. 1. [4]) zu Athen. Gr. § 56 (51). [5]) *φάσκω* sage, behaupte. [6]) Gr. § 133, 6 (113, 4). [7]) sc. *αὐτοῦ*. [8]) dient zuweilen zur Einführung der direkten Rede und wird dann nicht übersetzt. [9]) darum, also. [10]) Versicherungen, Bürgschaften der Treue. [11]) *συν-εκ-κόπτω* haue mit um, helfe umhauen.

85. Krösus und der delphische Gott.

Σάρδεων ᾑρημένων αὐτὸν Κροῖσον ἐζώγρησαν οἱ Πέρσαι, ἄρξαντα ἔτη τέτταρα καὶ δέκα, καὶ τέτταρας καὶ δέκα ἡμέρας πολιορκηθέντα. Λαβόντες δὲ αὐτὸν οἱ στρατιῶται ἤγαγον παρὰ Κῦρον· ὁ δὲ ἀνεβίβασεν ἐπὶ πυρὰν μεγάλην τὸν ἐν πέδαις δεδεμένον βασιλέα. Ἀκούσας γὰρ τὸν Κροῖσον εὐσεβῆ ὄντα ἐβούλετο γιγνώσκειν, εἴ τις τῶν δαιμόνων αὐτὸν σώσει ὥστε μὴ ζῶντα κατακαυθῆναι. Τῷ δὲ Κροίσῳ ὄντι ἐπὶ τῆς πυρᾶς τὸ[1]) τοῦ Σόλωνος εἰςῆλθε[2]) λέξαντος, πρὶν ἂν εὖ τελεσθῇ ὁ βίος, οὐδένα τῶν ζώντων ὄλβιον ὀνομαστέον εἶναι. Ὡς δ' εἰςῆλθεν αὐτῷ, τρὶς ἀναστενάξας[3]) ἐκάλεσε· „Σόλων". Καὶ ὁ Κῦρος ἀκούσας ἐκέλευσε τοὺς ἑρμηνέας ἐρωτῆσαι τὸν Κροῖσον, τίνα οὕτως ἐπικαλοῖτο. Οἱ δὲ ἑρμηνεῖς ἀποσταλέντες, ἐπεὶ πάντα ἤκουσαν, ἀπήγγειλαν τῷ βασιλεῖ. Ὁ δέ, οἰκτίρας μὲν τὴν τῆς τύχης μεταβολήν[4]), ἐνθυμηθεὶς δέ, ὅτι, καὶ αὐτὸς ἄνθρωπος ὤν, ἄλλον ἄνθρωπον, γενόμενον ἑαυτοῦ εὐδαιμονίᾳ οὐκ ἐλάττω, εἰς πῦρ ζῶντα ἐμβάλοι, ὡς τάχιστα τὸ καιόμενον πῦρ ἀποσβεννύειν[5]) καὶ καταβαίνειν τὸν Κροῖσον ἐκέλευσεν. Καταβιβάσας δ' αὐτὸν ἀπὸ τῆς πυρᾶς ἠρώτησε τάδε· Ὦ Κροῖσε, τίς σε ἀνθρώπων ἔπεισεν ἐπὶ τὴν ἐμὴν γῆν στρατεύσασθαι; Ὁ δ' ἀπεκρίνατο· Ὦ βασιλεῦ, ἐγὼ ταῦτα ἔπραξα τῇ μὲν σῇ εὐτυχίᾳ, τῇ δ' ἐμῇ ἀτυχίᾳ· αἴτιος δὲ τούτων ἐστὶν ὁ Ἑλλήνων θεὸς διακελευσάμενός μοι στρατεύσασθαι. Τίς γὰρ ἂν οὕτως ἄφρων εἴη, ὥστε πόλεμον ἀντ' εἰρήνης αἱρεῖσθαι; Ἀλλὰ ταῦτα δαίμοσί που[6]) φίλον ἦν οὕτω γενέσθαι.

Μετ' οὐ πολὺν χρόνον βασιλεύς, εὐνούστατον Κροίσῳ ἑαυτὸν παρέχων, ἐκέλευσεν αὐτὸν χάριν αἰτήσασθαι, ἥντινα βούλοιτο. Ὁ δ' ἀπεκρίνατο· Ὦ βασιλεῦ, χαριῇ μοι μάλιστα ἐάσας με τὸν θεὸν τῶν Ἑλλήνων, ὃν ἐγὼ ἐτίμησα θεῶν μάλιστα, ἐρωτῆσαι, πέμψαντα τάσδε τὰς πέδας, εἰ ἐξαπατᾶν τοὺς εὖ ποιοῦντας νόμος ἐστὶν αὐτῷ. Κῦρος δ' ἠρώτησε, τί βουλόμενος τοῦτο αἰτοῖτο. Ὁ δὲ Κροῖσος ἀπεφήνατο πᾶσαν τὴν ἑαυτοῦ διάνοιαν καὶ τῶν χρηστηρίων τὰς ἀποκρίσεις καὶ μάλιστα τὰ ἀναθήματα, καὶ ὡς ἐπαρθεὶς τῷ μαντείῳ ἐστρατεύσατο ἐπὶ Πέρσας[7]). Καὶ ταῦτα ἀποφηνάμενος πάλιν ᾐτήσατο ἐπιτρέψαι ἑαυτῷ, τῷ θεῷ ταῦτα ὀνειδίσαι. Κῦρος δὲ γελάσας· „Καὶ τοῦτό σοι", ἔφη, „χαριοῦμαι, Κροῖσε, καὶ ἄλλα,

---

[1]) der Ausspruch des S. Gr. § 143 (122). Anm. [2]) fiel ein. [3]) v. *ἀναστενάζω* seufze auf. Gr. § 92 (75), 3. b. A. [4]) die Veränderung. [5]) *ἀπο-σβεννύω* lösche aus. [6]) irgendwo, wohl. [7]) siehe oben St. 45, A, 13.

ἃ ἂν δέῃ.“ Ὡς δὲ ταῦτα ἤκουσεν ὁ Κροῖσος, εὐθὺς τῶν Λυδῶν τινας ἀπέστειλεν εἰς Δελφούς, ἐπιτάξας αὐτοῖς φήνασι τὰς πέδας ἐρωτᾶν τάδε τὸν θεόν· „Ἆρ' οὐκ[1]) αἰσχύνῃ[2]), ὦ Πύθιε, τοῖς μαντείοις ἐπάρας[2]) Κροῖσον πολεμεῖν Πέρσαις ὡς παύσοντα τὴν Κύρου δύναμιν, ἀφ' ἧς αὐτῷ ἀκροθίνια[3]) τοιαῦτα ἐγένετο;“ Ἐπέταξε δὲ καὶ τάδε ἐπερωτᾶν, εἰ νόμος εἴη τοῖς Ἑλληνικοῖς θεοῖς, ἀχαριστίᾳ χρῆσθαι πρὸς τοὺς εὐεργετήσαντας.

Οἱ μὲν οὖν Λυδοὶ ἀφικόμενοι ἔλεγον τὰ ἐπιτεταγμένα ὑπὸ τοῦ Κροίσου, ἡ δὲ Πυθία τοιάδε ἀποκρίνασθαι λέγεται· „Τὴν Μοῖραν ἀδύνατόν ἐστιν ἀποφυγεῖν καὶ θεῷ. Κροῖσος δὲ τῆς ἁμαρτίας[4]) τοῦ πέμπτου προγόνου[5]) τὴν δίκην ὑπέχει, ὃς γυναικὸς δόλῳ διαφθαρεὶς ἀπέκτεινε τὸν δεσπότην καὶ περιεβάλετο[6]) τὴν ἐκείνου τιμήν. Προθυμουμένου[7]) δὲ Ἀπόλλωνος, ὅπως ταῦτα τὰ πάθη οἱ Κροίσου παῖδες πάσχοιεν καὶ μὴ αὐτός, οὐχ οἷόν τε ἦν παραγαγεῖν[8]) τὴν Μοῖραν. Ὁπόσα δ' ἐπέτρεψεν αὕτη, ἐτέλεσέ τε[9]) καὶ ἐχαρίσατο αὐτῷ· τρία γὰρ ἔτη ἀνεβάλετο[10]) τὴν Σάρδεων ἅλωσιν. Περὶ δὲ τοῦ μαντείου οὐκ ἂν ὀρθῶς ὁ Κροῖσος τῷ θεῷ χαλεπήνειεν. Ἐμαντεύσατο γὰρ ὁ Ἀπόλλων, ἐὰν στρατεύσηται ἐπὶ Πέρσας, μεγάλην ἀρχὴν αὐτὸν καταλύσειν· Κροῖσον δὲ ἔδει[11]), εἰ ἤθελεν εὖ βουλεύεσθαι πρὸς ταῦτα[12]), πέμψαντα ἐπερωτῆσαι, πότερον ὁ θεὸς τὴν ἑαυτοῦ ἢ τὴν Κύρου λέγοι ἀρχήν. Τοῦτο δ' οὐ ποιήσας, ἀλλ' αὐτὸς κρίνας ἑαυτὸν αἴτιον ἀποφηνάτω.“

Ταῦτα μὲν ἡ Πυθία ἀπεκρίνατο τοῖς Λυδοῖς, οἱ δ' εἰς Σάρδεις ἐλθόντες ἀπήγγειλαν τῷ Κροίσῳ· ὁ δ' ἀκούσας ἐπείσθη ἑαυτοῦ εἶναι τὴν ἁμαρτίαν καὶ οὐ τοῦ θεοῦ.

---

[1]) ἆρα ist Fragepartikel; ἆρ' οὐ = nonne. Gr. § 224, 3 (203). [2]) αἰσχύνομαι ἐπάρας ich schäme mich, daß ich. Gr. § 219 (198), 2. A. 5. [3]) τὰ ἀκροθίνια die Kriegsbeute (damit auf die Fesseln deutend). [4]) ἡ ἁμαρτία s. v. a. τὸ ἁμάρτημα. [5]) d. i. Gyges. [6]) περι-βάλλομαι werfe mir um; eigne, maße mir an. [7]) προ-θυμέομαι bin geneigt, wünsche eifrig. [8]) παρ-άγω lenke ab. [9]) nämlich ὁ Ἀπόλλων. [10]) ἀνα-βάλλομαι schiebe auf. [11]) hätte sollen. Gr. § 191 (169), 1. [12]) mit Rücksicht darauf. Gr. § 182 (160), 26. c.

Aus dem Leben Alexanders des Großen.

86. Makedonien unter Philippus.

Ἡ Μακεδονία πρὸ Φιλίππου τοῦ βασιλέως μικρὰ ἦν καὶ φαύλη[1]. *Φίλιππος δὲ ὁ Ἀμύντου πλοῦτον καὶ δύναμιν ἐκέκτητο, ὅσην οὐδεὶς τῶν Ἑλλήνων. Εὐθὺς δ' ἄρξας*[2] *ἐνίκησε μὲν τοὺς οἴκοι*[3] *ἀντιστασιώτας*[4], *μετ' ὀλίγον δὲ χρόνον δειναῖς μάχαις καταστρεψάμενος τοὺς Παίονας*[5] *καὶ τοὺς Ἰλλυριοὺς*[5] *ἐστράτευσεν ἐπ' Ἀμφίπολιν, τὴν Ἀθηναίων ἀποικίαν τὴν ἐπὶ Στρυμόνι, καὶ βίᾳ λαμβάνει τὴν πόλιν. Ὕστερον δὲ Πύδναν καὶ Ποτείδαιαν τὰς πόλεις ἐκπολιορκήσας Φιλίππους τὴν πόλιν, ἣ πρότερον ὄνομα ἦν Κρηνίδες*[6], *ηὔξανεν, ἀποικίζων ἐκεῖ πλῆθος ἀποίκων, καὶ τὰ ἐν τῇ χώρᾳ μέταλλα μείζω ἐποίησεν, ὥστε πρόσοδον ἔφερεν αὐτῷ πλέον ἢ τάλαντα χίλια κατ' ἔτος*[7].

Ὀλίγοις δ' ἔτεσιν ὕστερον οἵ τε Θετταλοὶ καὶ οἱ Λοκροὶ καὶ οἱ Θηβαῖοι ἐπολέμησαν πρὸς τοὺς Φωκέας. Νικησάντων δὲ τῶν Φωκέων Φίλιππος τοῖς Θετταλοῖς αἰτήσασιν ἐβοήθησεν. Καὶ δὶς μὲν ἡττήθη καὶ αὐτὸς[8] *ὑπὸ τῶν Φωκέων, τῇ δὲ τρίτῃ μάχῃ ἐνίκησε σὺν τοῖς Θετταλοῖς.*

Ἔπειτα δ' ἐπ' Ὄλυνθον ἐστράτευσε Φίλιππος, πόλιν Ἑλληνίδα ἐν τῇ Χαλκιδικῇ μεγάλην καὶ εὐδαίμονα, μετὰ πολλῆς δυνάμεως, καὶ μάχῃ νικήσας τοὺς Ὀλυνθίους συνέκλεισεν εἰς πολιορκίαν. Οἱ δ' Ὀλύνθιοι, πρέσβεις πέμψαντες εἰς Ἀθήνας περὶ βοηθείας, ἐν μακρᾷ πολιορκίᾳ πολλοὺς τῶν Μακεδόνων ἀπέκτεινον· τὸ δὲ τελευταῖον[9], *φθείρων*[10] *χρήμασι τοὺς Ὀλυνθίων προστάτας, ἐκ προδοσίας ἐκράτησεν ὁ βασιλεὺς τῆς πόλεως· καὶ τὴν μὲν πόλιν κατασκάπτει, τοὺς δ' ἐνοίκους ἀνδραποδίζει· οἱ δ' Ἀθηναῖοι ὀψίζοντες*[11] *τῇ βοηθείᾳ οὐδὲν ὠφέλησαν.*

NB. 86 kann nach 55 gelesen werden. [1]) *φαῦλος*, 3. unbedeutend. [2]) gleich nach seinem Regierungsantritt. [3]) *οἴκοι* zu Hause. Gr. § 56 (51); hier: „heimatlich". [4]) *ὁ ἀντιστασιώτης* der Gegner. [5]) die Päoner waren die nördlichen, die Illyrier die westlichen Nachbarn der Makedoner. [6]) Gr. § 168. Anm. 2 (154. A.). [7]) jährlich. [8]) ebenfalls. [9]) zuletzt. [10]) *φθείρω* besteche. [11]) *ὀψίζω* bin, komme zu spät.

Τοῖς δ' ὕστερον ἔτεσι Φίλιππος τὸν αὐτὸν τρόπον[1]) πολλὰς ἐλάμβανε πόλεις καὶ πολὺ κρείττων ἐγίγνετο, ὥστε καὶ τοῖς Ἀθηναίοις καὶ τοῖς ἄλλοις Ἕλλησι πολὺς φόβος ἐνέπιπτεν. Ἐπεὶ δὲ ἀπροσδοκήτως[2]) τῆς Ἐλατείας ἐκράτησεν, εὐθὺς οἱ Ἀθηναῖοι πρέσβεις εἰς Θήβας ἔπεμψαν τὰς πρότερον πολεμίας οὔσας περὶ συμμαχίας, καὶ ἔπεισε Δημοσθένης ὁ ῥήτωρ τοὺς Βοιωτοὺς συμμαχίαν ποιήσασθαι ὑπὲρ τῆς κοινῆς τῶν Ἑλλήνων ἐλευθερίας. Αὐτίκα δ' ὁ δῆμος τῶν Ἀθηναίων πανδημεὶ[3]) ἐστράτευσε, καὶ κατὰ σπουδὴν πορευθέντες ἧκον εἰς Χαιρώνειαν τῆς Βοιωτίας, οὗ[4]) κοινῇ[5]) στρατοπεδευσάμενοι μετὰ τῶν Βοιωτῶν ἔμενον τὴν τῶν πολεμίων ἔφοδον. Ὀλίγας δὲ μεθ' ἡμέρας Φίλιππος, ἄλλως[6]) πειραθεὶς τὴν τῶν Ἑλλήνων συμμαχίαν διαλύσασθαι, ἧκεν ἔχων πεζοὺς μὲν πλείους τῶν[7]) τρισμυρίων, ἱππέας δὲ οὐκ ἐλάττους τῶν[7]) δισχιλίων. Καὶ γίγνεται δὴ καρτερὰ ἡ μάχη ἐπὶ πολὺν χρόνον, ἀμφοτέρων ἀνδρειότατα μαχομένων καὶ πολλῶν παρ' ἀμφοτέροις πιπτόντων· ἐφάμιλλοι[8]) μὲν γὰρ ἦσαν ἀνδρείᾳ καὶ προθυμίᾳ, τῷ δὲ πλήθει καὶ τῇ τῶν πολεμικῶν ἔργων ἐμπειρίᾳ ὑπερέβαλλεν ὁ βασιλεύς. Ἐνίκησαν δή, ἐπεὶ Φίλιππος τῇ φάλαγγι τοὺς Ἀθηναίους ἐτρέψατο καὶ Ἀλέξανδρος ἔχων τοὺς ἱππέας τὸν ἱερὸν λόχον τῶν Θηβαίων ἐφυγάδευσεν, οἱ Μακεδόνες· καὶ ἐτελεύτησαν μὲν ἐν τῇ μάχῃ τῶν Ἀθηναίων πλείους τῶν[7]) χιλίων, ἐζωγρήθησαν δὲ οὐκ ἐλάττους τῶν[7]) δισχιλίων· ὁμοίως δὲ καὶ πολλοὶ τῶν Βοιωτῶν οἱ μὲν ἐφονεύθησαν, οἱ δ' ἐζωγρήθησαν. Μετὰ δὲ τὴν μάχην ὁ Φίλιππος τρόπαιον ἱδρύσας ἐπινίκια[9]) τοῖς θεοῖς ἔθυσε καὶ τοὺς ἀριστεύσαντας[10]) κατὰ τὴν ἀξίαν[11]) ἐτίμησεν.

Μετὰ δὲ ταῦτα τοῖς Ἕλλησιν ἀδύνατον ἦν εἰς ἀεὶ τὴν ἐλευθερίαν ἀνακτήσασθαι[12]). Φίλιππος δὲ τούς τε Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας πλὴν Λακεδαιμονίων ἔπεισε, συμμαχίαν αὐτῷ ποιήσασθαι εἰς τὸν πόλεμον τὸν πρὸς τοὺς Πέρσας. Μέλλων δὲ ἤδη στρατεύεσθαι εἰς τὴν Ἀσίαν, ἐπὶ Πυθοδήμου ἄρχοντος[13]) Ἀθήνησιν[14]), ἐν τοῖς Κλεοπάτρας τῆς θυγατρὸς γάμοις[15]) λαμπρότατα ποιηθεῖσιν ἐφονεύθη ὑπὸ Παυσανίου, βασιλεύσας τῶν Μακεδόνων ἔτη εἴκοσι καὶ τρία.

---

[1]) auf dieselbe Weise. Gr. § 153 (138). [2]) ἀπροσδόκητος, 2. unerwartet, unvermutet. [3]) mit ganzer Heeresmacht. [4]) wo. [5]) gemeinsam, zusammen. [6]) umsonst, vergeblich. [7]) Gr. § 137, 5 (116, 2). [8]) sich gewachsen, gleich. [9]) τὰ ἐπινίκια (sc. ἱερά) das Siegesopfer; ἐπινίκια θύειν ein Opferfest wegen eines Sieges veranstalten. [10]) ἀριστεύω bin der beste, zeichne mich aus. [11]) nach Verdienen. [12]) ἀνα-κτάομαι erwerbe wieder. [13]) unter dem Archontat des P. Gr. § 182 (160), 10. b. [14]) zu Athen. Gr. § 56 (51). [15]) οἱ γάμοι das Hochzeitsfest.

87. Alexanders Jugend und Regierungsantritt.

Plut. Alex. 5. Arr. An. I, 1, 1—3.

Φιλίππου τελευτήσαντος Ἀλέξανδρος, ὁ Φιλίππου καὶ Ὀλυμπιάδος υἱός, τὴν βασιλείαν παρεδέξατο, ὃς παῖς ἔτι ὢν πολὺ τῶν ἡλικιωτῶν διέφερε φρονήσει καὶ ἀνδρείᾳ. Ἀποδημοῦντος γάρ ποτε Φιλίππου τοὺς παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἐν Πέλλῃ[1]) *ἐξένισεν. Ὁμιλῶν δ' αὐτοῖς οὐδὲν ἐρώτημα παιδικὸν ἠρώτησεν οὐδὲ μικρόν*[2]), *ἀλλὰ τὰ τῶν ὁδῶν μήκη καὶ τὸν τῆς πορείας τρόπον, καὶ περὶ αὐτοῦ τοῦ βασιλέως, ὁποῖος εἴη πρὸς τὸν πόλεμον, καὶ ὁπόση ἡ τῶν Περσῶν ῥώμη καὶ δύναμις. Τοῦτον τὸν τρόπον*[3]) *οὕτως ἐχειρώσατο*[4]) *αὐτούς, ὥστε ἐθαύμαζον αὐτόν, καὶ τὴν λεγομένην Φιλίππου δεινότητα*[5]) *οὐδὲν ἡγοῦντο πρὸς*[6]) *τὴν τοῦ παιδὸς ἀγχίνοιαν*[7]).

Ὁπότε δὲ Φίλιππος ἢ πόλιν ἔνδοξον ἐκπολιορκήσειεν[8]) *ἢ νίκην λαμπρὰν νικήσειεν*[8]), *οὐκ ἔχαιρεν Ἀλέξανδρος, ἀλλὰ πρὸς τοὺς ἡλικιώτας ἔλεγεν· Ὦ παῖδες, εἰ οὕτω πάντα τὰ καλὰ πράγματα αὐτὸς διαπράξεται ὁ πατήρ, οὐδὲν ἐμοὶ λοιπὸν ἔσται*[9]) *μεθ' ὑμῶν ἔργον πράξειν μέγα καὶ λαμπρόν. Ἐκείνων δὲ λεξάντων· Ταῦτα πάντα, ὦ Ἀλέξανδρε, σοὶ κτᾶται ὁ Φίλιππος· Τί, ἔφη, τοῦτό μοι ἔσται*[9]) *ἀγαθόν, εἰ βασιλεύσω μὲν πολλῶν, πράξω δὲ μηδέν;*

Παραδεχόμενος οὖν τὴν βασιλείαν ἀμφὶ τὰ εἴκοσιν ἔτη ἦν Ἀλέξανδρος. Καὶ πρῶτον μὲν εἰς τὴν Ἑλλάδα ἐπορεύθη ὡς αἰτήσων[10]) *παρὰ τῶν Ἑλλήνων τὴν ἡγεμονίαν τῆς ἐπὶ τοὺς Πέρσας στρατείας· λαμβάνει δὲ παρ' ἑκάστων πλὴν Λακεδαιμονίων, οἳ ἀποκρίνονται, πάτριον*[11]) *εἶναι αὐτοῖς, μὴ*[12]) *ἀκολουθεῖν ἄλλοις, ἀλλ' αὐτοὺς*[13]) *ἄλλων ἡγεῖσθαι. Μετὰ δὲ ταῦτα ἀναχωρήσας εἰς τὴν Μακεδονίαν τὸν χειμῶνα ἐν μεγάλῃ παρασκευῇ ἦν τοῦ εἰς τὴν Ἀσίαν στόλου.*

NB. 87 kann nach 67 gelesen werden. [1]) Pella in der Landschaft Bottiäa war seit Philipp Residenz der makedonischen Könige. [2]) kleinlich, geringfügig. [3]) auf diese Weise. Gr. § 153 (138). [4]) *χειρόομαι* hier: „gewinne". [5]) *ἡ δεινότης* die Klugheit. [6]) im Vergleich zu. [7]) *ἡ ἀγχίνοια* der Scharfsinn. [8]) *ὁπότε* m. Opt.: so oft (vgl. S. 51, 1). [9]) *ἔσται* wird sein (3. P. S. Fut. v. *εἰμί*). [10]) Regel 29. [11]) *πάτριος*, 3. (vom Vater her) üblich; *πάτριόν ἐστιν* es ist ererbter Brauch, herkömmlich. [12]) Regel 17. [13]) ipsos. Gr. § 214, 4 (193, 3).

88. Alexander in Thrakien und Illyrien.

Arr. An. I, 1, 4 — I, 6, 11.

Ἅμα δὲ τῷ ἔαρι ἤλαυνεν ἐπὶ[1]) Θρᾴκης, εἰς Τριβαλλοὺς[2]) καὶ Ἰλλυριούς, ὁμόρους ὄντας βαρβάρους, ὅτι ἤκουσεν αὐτοὺς νεωτερίζειν[3]), καὶ οὐκ ἐβούλετο λειφθῆναι τούτους, εἰ μὴ[4]) πάντως ταπεινωθέντας. Ὁρμηθεὶς δὴ ἐξ Ἀμφιπόλεως πορεύεται διὰ τῆς Θρᾴκης, Φιλίππους τὴν πόλιν ἐν ἀριστερᾷ ἔχων, καὶ δεκαταῖος[5]) ἀφικνεῖται ἐπὶ τὸ ὄρος τὸν Αἷμον. Ἐνταῦθα ἀπήντων αὐτῷ οἱ Θρᾷκες οἱ αὐτόνομοι παρεσκευασμένοι ὡς κωλύσοντες τὴν πάροδον. Ὁρῶν δέ, ὅτι ἄλλη πάροδος οὐκ εἴη, Ἀλέξανδρος εὐθὺς ἐβουλεύσατο, διακινδυνευτέον[6]) εἶναι, καὶ δεινῇ μάχῃ νικήσας ἐκράτησε τῶν στενῶν. Τὴν δὲ λείαν ὀπίσω πέμψας εἰς τὰς πόλεις τὰς ἐπὶ θαλάττῃ[7]) πρόσω ἐπορεύετο διὰ τοῦ Αἵμου εἰς Τριβαλλούς.

Σύρμος δὲ ὁ τῶν Τριβαλλῶν βασιλεύς, ἀκούσας τὸν στόλον Ἀλεξάνδρου, παῖδας καὶ γυναῖκας προὔπεμψεν εἰς νῆσόν τινα τῶν ἐν τῷ Ἴστρῳ (Πεύκη ὄνομα τῇ νήσῳ ἐστίν), τὸ δὲ στράτευμα τοῖς Μακεδόσιν ἐν νάπῃ τινὶ ἐπὶ τῷ Λυγίνῳ ποταμῷ ἀπήντησεν. Καὶ πρῶτον μὲν οἱ Τριβαλλοὶ ἀνδρειότατα ὑπέμειναν· ὡς δὲ ἥ τε φάλαγξ πυκνὴ ἐνέβαλλεν εἰς αὐτοὺς καὶ οἱ ἱππεῖς κύκλῳ προσέπιπτον, τότε δὴ ἐτράπησαν διὰ τῆς νάπης εἰς τὸν ποταμόν. Καὶ ἀποθνῄσκουσι μὲν τρισχίλιοι ἐν τῇ φυγῇ, ὀλίγοι δὲ ἐζωγρήθησαν, ὅτι ὕλη δασεῖα πρὸ τοῦ ποταμοῦ ἦν καὶ νὺξ ἐπιγενομένη τὴν δίωξιν ἐκώλυσεν. Αὐτῶν δὲ Μακεδόνων τελευτῆσαι λέγονται ἱππεῖς μὲν ἕνδεκα, πεζοὶ δὲ ἀμφὶ τοὺς τετταράκοντα.

Ἀπὸ δὲ τῆς μάχης τριταῖος[5]) ἦλθεν Ἀλέξανδρος ἐπὶ τὸν Ἴστρον ποταμόν. Οὗτος μέγιστός ἐστι τῶν ἐν τῇ Εὐρώπῃ ποταμῶν καὶ πλείστην γῆν διέρχεται καὶ ἔθνη μαχιμώτατα. Ἐνταῦθα καταλαμβάνει ναῦς μακρὰς αὐτῷ ἡκούσας ἐκ Βυζαντίου διὰ τοῦ Εὐξείνου πόντου[8]). Ταύτας πληρώσας τοξοτῶν καὶ ὁπλιτῶν τῇ νήσῳ ἐπέπλει,

---

NB. 88 kann nach 76 gelesen werden. [1]) auf — hin, nach. Gr. § 182 (160), 10. a. [2]) die Triballer wohnten im westlichen Teil von Moesia inferior, im heutigen Serbien und Bulgarien. [3]) *νεωτερίζω* novis rebus studeo, stifte Aufruhr, empöre mich. [4]) außer. Gr. § 207, 3. a (185, 2. a). [5]) *δεκαταῖος, τριταῖος, δευτεραῖος*, 3. am zehnten, dritten, zweiten Tage. Gr. § 134, 1 (113, 5). [6]) *διακινδυνεύω* wage den Entscheidungskampf. [7]) z. B. nach Neapolis und Eion, den Hafenstädten von Philippi und Amphipolis. [8]) die Schiffe hatten also von Makedonien den weiten Umweg über Byzanz durch den Pontus und die Donau stromaufwärts gemacht.

εἰς ἣν οἱ Τριβαλλοὶ καὶ οἱ Θρᾷκες ἔφυγον, καὶ ἐπειρᾶτο βιάζεσθαι τὴν ἀπόβασιν. Οἱ δὲ βάρβαροι ταύτην ἐκώλυσαν· ἦσαν γὰρ ὀλίγαι αἱ Ἀλεξάνδρου νῆες καὶ ἡ στρατιὰ οὐ πολλὴ ἡ ἐπ' αὐτῶν.

Ἔνθα δὴ[1]) Ἀλέξανδρος, ἀπαγαγὼν τὰς ναῦς, πέραν τοῦ Ἴστρου ἐλθεῖν μάλα ἐπεθύμησεν· ἤκουσε γὰρ τοὺς Γέτας τοὺς ἐκεῖ οἰκοῦντας μεγάλῃ δυνάμει ἐπὶ τῷ ποταμῷ συλλεγῆναι (ἦσαν γὰρ ἱππεῖς μὲν τετρακισχίλιοι, πεζοὶ δὲ πλείους τῶν μυρίων) ὡς κωλύσοντας, εἰ διαβαίνειν βούλοιτο. Ἐπὶ τούτους οὖν διαβαίνει ἔχων ἱππέας μὲν εἰς χιλίους καὶ πεντακοσίους, πεζοὺς δὲ εἰς τετρακισχιλίους. Διαβιβάζει δὲ τοὺς μὲν[2]) ἐπὶ τῶν ἐλθουσῶν νεῶν, τοὺς δὲ[2]) ἐν πλοίοις μονοξύλοις[3]), οἵοις χρῶνται οἱ πρόσοικοι τοῦ ποταμοῦ ἐφ' ἁλιείᾳ καὶ λῃστείᾳ[4]). Καὶ καλῶς ἀποβαίνει[5]) τὸ πρᾶγμα· διέβαινον γὰρ νυκτὸς πάντως ἀμελούμενοι[6]) ὑπὸ τῶν πολεμίων, καὶ ἅμα τῇ ἡμέρᾳ Ἀλέξανδρος αὐτὸς μὲν τὴν ἵππον ἐπήγαγε, τὴν δὲ φάλαγγα Νικάνωρ. Οἱ δὲ Γέται οὐδὲ τὴν πρώτην προσβολὴν ἐδέξαντο (παράδοξος[7]) γὰρ αὐτοῖς ἡ τόλμα ἐφάνη Ἀλεξάνδρου, ὅτι ἄνευ γεφυρῶν ἐν μιᾷ νυκτὶ τὴν στρατιὰν διεβίβασεν), ἀλλ' εἰς τὴν πόλιν ἔφυγον ἀπέχουσαν τοῦ Ἴστρου ἕνα παρασάγγην. Ἐπεὶ δὲ προὐχώρησαν οἱ Μακεδόνες, λείπουσιν αὖ[8]) καὶ τὴν πόλιν οἱ Γέται κακῶς τετειχισμένην καί, λαβόντες τά τε παιδία καὶ τὰς γυναῖκας ἐπὶ τοὺς ἵππους, φεύγουσιν εἰς τὰ ἔρημα[9]). Ἀλέξανδρος δὲ τήν τε πόλιν λαμβάνει καὶ τὴν λείαν πᾶσαν, ὅσην οἱ Γέται ἐλείποντο· κατασκάψας δὲ τὴν πόλιν ἔθυσεν ἐπὶ τῇ ὄχθῃ τοῦ Ἴστρου Διὶ σωτῆρι καὶ Ἡρακλεῖ καὶ αὐτῷ τῷ Ἴστρῳ.

Ἐν τούτῳ δὲ τῷ χρόνῳ ἀφίκοντο πρέσβεις πρὸς Ἀλέξανδρον παρά τε τῶν ἄλλων ἐθνῶν προσοίκων τῷ Ἴστρῳ καὶ παρὰ Σύρμου τοῦ Τριβαλλῶν βασιλέως· καὶ παρὰ Κελτῶν δὲ[10]) τῶν ἐπὶ τῷ Ἰονίῳ κόλπῳ ᾠκισμένων ἧκον· πάντες δὲ ἔλεγον ἥκειν περὶ εἰρήνης καὶ φιλίας. Καὶ πᾶσιν ἐπόρισεν[11]) Ἀλέξανδρος πιστὰ[12]) καὶ ἔλαβεν· ἀπέπεμψε δὲ πάντας φίλους τε ὀνομάσας καὶ συμμάχους ποιησάμενος.

Μετὰ δὲ ταῦτα Ἀλεξάνδρῳ, ἐπανερχομένῳ ἤδη δι' Ἀγριάνων[13])

---

[1]) S. 18, 2. [2]) S. 11, 6. [3]) μονόξυλος, 2. aus einem Baum oder Stamm gemacht. [4]) zum Fischfang und zur Plünderei, zu Raubzügen. [5]) ἀποβαίνει geht von statten. [6]) d. i. unbemerkt. [7]) παράδοξος, 2. gegen Erwarten; unglaublich, wunderbar. [8]) wiederum. [9]) d. i. in die Steppengegenden des inneren Landes. [10]) καὶ — δέ und auch, und sogar. [11]) πορίζω hier: „gebe". [12]) πιστά Versicherungen, Bürgschaften der Treue. [13]) die Agrianer wohnten südwestlich von den Triballern und nordöstlich von den Päonern.

καὶ Παιόνων εἰς Μακεδονίαν, ἠγγέλθη, Κλεῖτόν τε τὸν Ἰλλυριὸν καὶ Γλαυκίαν, τὸν Ταυλαντίων[1]) βυσιλέα, ἀποστατῆσαι[2])· ἔφερον γὰρ οὗτοι, πολέμῳ ἀναγκασθέντες, τῷ Φιλίππῳ δασμούς· ὅτε δὲ Ἀλέξανδρος τοῦ πατρὸς ἀποθανόντος ἔπεμψε τοὺς τὸν φόρον ἀπαιτήσοντας, ἀπηρνήθησαν[3]). Βουλόμενος οὖν εὐθὺς δίκην παρὰ τῶν ἀποστατησάντων λαβεῖν[4]) πορεύεται παρὰ τὸν Ἐριγόνα ποταμὸν ἐπὶ Πήλιον τὴν πόλιν, ἣν ἐφύλαττον οἱ ἀμφὶ Κλεῖτον[5]) ὡς ὀχυρωτάτην τῆς χώρας. Ἐπεὶ δὲ Ἀλέξανδρος τὴν Γλαυκίου στρατιὰν τὴν τῷ συμμάχῳ βοηθήσασαν ἐφυγάδευσε, Κλεῖτος τὴν πόλιν καταφλέξας[6]) ἀπηλλάγη πρὸς Γλαυκίαν εἰς Ταυλαντίους.

89. Thebens Erhebung und Niederwerfung.

Arr. An. I, 7, 1—I, 11, 3.

Ἐν τούτῳ τῷ χρόνῳ διῆλθε τὴν Ἑλλάδα ὁ λόγος, Ἀλέξανδρον τελευτῆσαι τὸν βίον ἐν Ἰλλυριοῖς, καὶ πιθανὸς[7]) ἦν τοῖς πολλοῖς[8])· χρόνον γὰρ ἀπῆν[9]) οὐκ ὀλίγον, καὶ ἀγγελία οὐδεμία παρ' αὐτοῦ ἤγγελτο, ὥστε, ὅπερ φιλεῖ[10]) γενέσθαι ἐν τοῖς τοιούτοις, ᾤοντο πάντες, ἃ ἕκαστος ἤλπιζεν. Τοῦτο δὴ τοὺς Θηβαίους εἰς ἀπόστασιν ἐπῆρεν, μισοῦντας μὲν πάλαι τὴν τῶν Μακεδόνων ἡγεμονίαν, ἐπιθυμοῦντας δὲ τῆς τῶν πατέρων ἐλευθερίας. Καὶ τῆς Μακεδονικῆς φρουρᾶς, ἣ ἐν τῇ Καδμείᾳ ἐφρούρει, τοὺς μὲν κατέσφαξαν, τοὺς δὲ λοιποὺς κατέκλεισαν εἰς τὴν ἀκρόπολιν· τοῦτο δὲ πράξαντες πρὸς Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας πρέσβεις ἔπεμψαν, ἵνα πείσειαν καὶ τούτους μετέχειν τῆς ἀποστάσεως.

Ἀκούσας δὲ τὰ τῶν Θηβαίων[11]) Ἀλέξανδρος οὐδαμῶς[12]) ἠμέλησεν, ἀλλ' ἐβουλεύσατο ὡς τάχιστα ἀπάγειν εἰς τὴν Ἑλλάδα. Ἄγων δὲ διὰ Μακεδονίας ἀφικνεῖται ἑβδομαῖος[13]) εἰς Πελίναν τῆς Θετταλίας· ἐκεῖθεν δὲ ὁρμηθεὶς ἕκτῃ ἡμέρᾳ εἰσβάλλει εἰς τὴν Βοιωτίαν, ὥστε οἱ Θηβαῖοι οὐ πρόσθεν ἤκουσαν αὐτὸν ἐντὸς Πυλῶν[14]) ὄντα, πρὶν

---

[1]) die Taulantier waren eine kleine illyrische Völkerschaft um Epidamnus. [2]) *ἀποστατέω* falle ab, werde abtrünnig. [3]) *ἀπ-αρνέομαι*, DP., weigere mich. [4]) *δίκην λαμβάνω* nehme Strafe, züchtige. [5]) *οἱ ἀμφὶ* (*περὶ*) *Κλεῖτον* Klitus und seine Leute. Gr. § 143 (122). Anm. [6]) *κατα-φλέγω* brenne nieder. [7]) *πιθανός*, 3. glaubwürdig. [8]) *οἱ πολλοί* die große Menge. Gr. § 136 (115). Anm. 1. [9]) von *ἄπ-ειμι*, absum. [10]) liebt, d. i. pflegt. [11]) die Vorgänge in Theben. [12]) auf keine Weise, keineswegs. [13]) s. S. 86, 5. [14]) d. i. der Thermopylen.

ἐν Ὀγχηστῷ[1]) *ἦν σὺν τῇ στρατιᾷ πάσῃ. Καὶ τότε δὲ οἱ πράξαντες τὴν ἀπόστασιν θαρρεῖν ἐκέλευσαν τὸ πλῆθος, διισχυριζόμενοι*[2]) *Ἀλέξανδρον τελευτῆσαι ἐν Ἰλλυριοῖς, ἄλλον δέ τινα ἥκειν Ἀλέξανδρον, καὶ χρόνον μέν τινα ἔπεισαν τοὺς πολλούς*[3]).

Ὁ δὲ βασιλεὺς ὁρμήσας ἐξ Ὀγχηστοῦ τῇ ὑστεραίᾳ[4]) *προσῆγε πρὸς τὴν πόλιν τῶν Θηβαίων κατὰ τὸ τοῦ Ἰολάου τέμενος*[5])· *οὗ δὴ καὶ ἐστρατοπέδευσεν, ἐλπίζων τοὺς Θηβαίους κάλλιον βουλεύσεσθαι καὶ πρεσβεύσεσθαι περὶ εἰρήνης. Ἀλλ' ἐψεύσθη ταύτης τῆς ἐλπίδος*[6]) *ὁ βασιλεύς· οἱ γὰρ Θηβαῖοι ἐκθέοντες ἐκ τῆς πόλεως ἠκόντιζον εἰς τοὺς προφύλακας καὶ ἀπέκτειναν τῶν Μακεδόνων οὐ πολλούς. Ἀλέξανδρος δ' ἐξέπεμψεν ἐπ' αὐτοὺς τῶν γυμνητῶν καὶ τοξοτῶν μέρος, καὶ οὗτοι οὐ χαλεπῶς ἐτρέψαντο τοὺς πολεμίους. Τῇ δὲ ὑστεραίᾳ λαβὼν τὴν στρατιὰν πᾶσαν καὶ περιελθὼν περὶ τὴν πόλιν ἐστρατοπέδευσε κατὰ τὰς πύλας τὰς φερούσας ἐπ' Ἐλευθεράς τε καὶ τὴν Ἀττικήν, ἵνα ἐγγὺς εἴη τῶν Μακεδόνων τῶν ἐν τῇ Καδμείᾳ. Οἱ γὰρ Θηβαῖοι τὴν Καδμείαν ἐφρούρουν διπλῷ χάρακι*[7]) *ἀποτειχίσαντες. Ἀλέξανδρος δὲ διέτριβε πρὸς αὐτῇ ἐστρατοπεδευμένος· ἤθελε γὰρ μᾶλλον διὰ φιλίας ἐλθεῖν*[8]) *τῇ πόλει ἢ διὰ μάχης. Ἔνθα δὴ*[9]) *τῶν Θηβαίων οἱ μὲν τὰ βέλτιστα εἰς τὸ κοινὸν βουλευόμενοι ἐξελθεῖν ὥρμηντο*[10]) *παρ' Ἀλέξανδρον, συγγνώμην αἰτήσοντες τῷ πλήθει τῆς ἀποστάσεως· οἱ δὲ τὴν ἀπόστασιν πράξαντες ἠναντιοῦντο καὶ ἐπῆρον τὸ πλῆθος εἰς τὸν πόλεμον· Ἀλέξανδρος δὲ οὐδ' ὧς*[11]) *τῇ πόλει προσέβαλεν.*

Περδίκκας δὲ οὐκ ἠνείχετο πολλὰς ἡμέρας ἀργῶν[12]) *καί ποτε, οὐκ ἀναμείνας παρ' Ἀλεξάνδρου τὸ εἰς τὴν μάχην σύνθημα*[13]), *αὐτὸς ἐπλησίαζε τῷ χάρακι*[7]), *καὶ διασπάσας αὐτὸν ἐνέβαλεν εἰς τῶν Θηβαίων τοὺς προφύλακας. Τούτῳ δὲ εἵπετο Ἀμύντας ἔχων τὴν ἑαυτοῦ τάξιν, καὶ ὁρῶν ταῦτα Ἀλέξανδρος, ἵνα μὴ μόνοι κινδυνεύσειαν οἱ περὶ Περδίκκαν*[14]), *ἐπῆγε καὶ τὴν ἄλλην στρατιάν. Ἔνθα δὴ*[9]) *Περδίκκας, πειραθεὶς εἴσω τοῦ δευτέρου χάρακος ἐλθεῖν,*

---

[1]) Onchestos im Gebiet von Haliartus am Kopaissee war nur ungef. 50 Stadien od. anderthalb Stunden von Theben entfernt. [2]) *δι-ισχυρίζομαι* versichere. [3]) s. S. 88, 8. [4]) sc. *ἡμέρᾳ*. [5]) Iolaos, der Freund und Wagenlenker des Herakles, wurde in Theben göttlich verehrt. [6]) *ψεύδομαι τῆς ἐλπίδος* täusche mich in m. H. [7]) *ὁ χάραξ, κος* die Pallisade; die Verschanzung, der Wall. [8]) *διὰ φιλίας ἐλθεῖν* den Weg der Güte einschlagen. [9]) S. 18, 2; Gr. § 75 (69). Anm. 1. [10]) *ὥρμημαι* bin bereit; wörtlich? [11]) auch so nicht (Gr. § 75 (69). Anm. 1), auch jetzt noch nicht. [12]) *ἀργέω* bin unthätig, müßig. [13]) das Zeichen, die Parole. [14]) S. 88, 5.

ἐβλήθη τε καὶ ἀπεκομίσθη κακῶς ἔχων εἰς τὸ στρατόπεδον, καὶ χαλεπῶς ἐσώθη ἀπὸ τοῦ τραύματος· οἱ δὲ περὶ αὐτὸν ἐφυγάδευσαν τοὺς πολεμίους καὶ ἐδίωκον μέχρι τοῦ Ἡρακλείου[1]). Ἐντεῦθεν δέ, ἐπιστρεψάντων αὖθις σὺν βοῇ τῶν Θηβαίων, φυγὴ τῶν Μακεδόνων γίγνεται, καὶ Εὐρυβώτας τε ὁ Κρὴς πίπτει ὁ τόξαρχος[2]) καὶ αὐτῶν τῶν τοξοτῶν εἰς ἑβδομήκοντα. Κἂν τούτῳ Ἀλέξανδρος ὁρῶν τοὺς μὲν ἑαυτοῦ φεύγοντας, τοὺς δὲ Θηβαίους λελυκότας ἐν τῇ διώξει τὴν τάξιν, ἐμβάλλει εἰς τούτους συντεταγμένῃ τῇ φάλαγγι· οἱ δὲ[3]) εἴργουσι τοὺς πολεμίους εἴσω τῶν πυλῶν καὶ συνεισπίπτουσιν[4]) αὐτοῖς εἴσω τοῦ τείχους. Ἔνθα δὴ[5]) δεινὸς γίγνεται φόνος· οἱ γὰρ Μακεδόνες, μᾶλλον δ' ἔτι Φωκεῖς τε καὶ Πλαταιεῖς, οἳ ἦσαν πολλοὶ ἐν τῷ Ἀλεξάνδρου στρατεύματι, τοὺς Θηβαίους οὐδενὶ κόσμῳ[6]) ἀπέκτεινον, τοὺς μὲν ἐν ταῖς οἰκίαις, τοὺς δὲ εἰς ἄμυναν τετραμμένους[7]), τοὺς δὲ καὶ πρὸς ἱεροῖς ἱκετεύοντας, οὔτε γυναικῶν οὔτε παίδων φειδόμενοι.

Τῇ δὲ ὑστεραίᾳ συγκαλέσας τῶν Ἑλλήνων, ὅσοι αὐτῷ συνεστρατεύοντο, συνεβουλεύετο περὶ τῆς πόλεως· ἐψηφίσαντο δὲ τὴν μὲν πόλιν κατασκάψαι εἰς ἔδαφος[8]), παῖδας δὲ καὶ γυναῖκας καὶ ὅσοι ὑπελείποντο τῶν Θηβαίων, πλὴν τῶν ἱερέων καὶ τῶν ἱερειῶν, ἀνδραποδίσαι. Τῆς δὲ Πινδάρου τοῦ ποιητοῦ οἰκίας καὶ τῶν ἐκγόνων τοῦ Πινδάρου ἐφείσατο Ἀλέξανδρος αἰδοῖ[9]) Πινδάρου.

Τῶν μὲν Μακεδόνων ἐτελεύτησαν πλείους τῶν πεντακοσίων, τῶν δὲ Θηβαίων ὑπὲρ τοὺς ἑξακισχιλίους, αἰχμάλωτα δὲ σώματα συνήχθη πλείω τῶν τρισμυρίων· τοὺς δ' αἰχμαλώτους λαφυροπωλήσας[10]) ἤθροισεν ἀργυρίου τάλαντα τετρακόσια καὶ τετταράκοντα.

Οἱ δ' ἄλλοι Ἕλληνες, ὡς ἠγγέλθη αὐτοῖς τῶν Θηβαίων τὸ πάθος, σφόδρα ἐταράχθησαν· ἐφοβοῦντο γάρ, μὴ[11]) ταὐτὰ πάσχοιεν τοῖς Θηβαίοις[12]). Καὶ οἱ μὲν Ἀρκάδες, ὅσοι ὡρμήθησαν βοηθήσοντες τοῖς Θηβαίοις, θανάτῳ ἐζημίωσαν τοὺς συμβουλεύσαντας τὴν βοήθειαν. Ἀθηναῖοι δέ, ἐκλεξάμενοι τοὺς ἐπιτηδειοτάτους, δέκα πρέσβεις ἔπεμψαν, κελεύσαντες λέγειν τῷ βασιλεῖ, χαίρειν τὸν δῆμον τῶν Ἀθηναίων, ὅτι Ἀλέξανδρος σῶς ἐπανῆλθεν ἐξ Ἰλλυ-

---

[1]) τὸ Ἡράκλειον das Heraklesheiligtum. [2]) ὁ τόξαρχος der Anführer der Bogenschützen. [3]) οἱ δε ist nach dem Sinn auf φάλαγγι zu beziehen. [4]) συν-εισ-πίπτω dringe zugleich mit ein. [5]) s. S. 89, 9. [6]) ohne alle Ordnung, ohne Unterschied. [7]) εἰς ἄμυναν τραπέσθαι sich zur Wehre setzen. [8]) εἰς ἔδαφος bis auf den Grund. [9]) aus Ehrfurcht. [10]) λαφυροπωλέω verkaufe als Beute. [11]) φοβοῦμαι, μή timeo, ne. [12]) ταὐτὰ τοῖς Θηβ. dasselbe wie die Theb. Gr. § 169 (155), 3.

ριῶν καὶ Τριβαλλῶν, καὶ ὅτι Θηβαίους τῆς ἀποστάσεως ἐτιμωρήσατο. Ὁ δὲ τῇ μὲν πρεσβείᾳ φιλανθρώπως ἀπεκρίνατο, ἐπιστολὴν δὲ γράψας πρὸς τὸν δῆμον ἐξῄτει τοὺς περὶ Δημοσθένη καὶ Λυκοῦργον[1]· τούτους γὰρ αἰτίους ἔφασκεν εἶναι τῆς τε ἐν Χαιρωνείᾳ συμφορᾶς καὶ τῆς τῶν Ἀθηναίων πρὸς Μακεδόνας ἔχθρας. Ἀθηναῖοι δὲ ἐπρεσβεύσαντο αὖθις παρ' Ἀλέξανδρον δεόμενοι παύσασθαι τῆς ὀργῆς, καὶ ὁ βασιλεύς, ἅμα μὲν αἰδοῖ[2]) τῆς πόλεως, ἅμα δὲ σπουδῇ[3]) τῆς εἰς τὴν Ἀσίαν στρατείας, ἐπαύσατο ὀργιζόμενος.

Ταῦτα δὲ διαπραξάμενος ἐπανῆλθεν Ἀλέξανδρος εἰς Μακεδονίαν, καὶ θυσίας θύσας μεγάλας τῷ Διὶ τῷ Ὀλυμπίῳ τὸν χειμῶνα διέτριβε σπουδαίως παρασκευαζόμενος πρὸς τὸν ἐπὶ τοὺς Πέρσας πόλεμον.

90. Der Zug nach Asien bis zur Schlacht am Granikus.

Arr. An. I, 11, 3 — I, 16, 7.

Ἅμα δὲ τῷ ἦρι[4]) ἀρχομένῳ ἐξελαύνει ἐφ' Ἑλλησπόντου, τὰ μὲν κατὰ Μακεδονίαν καὶ τοὺς Ἕλληνας Ἀντιπάτρῳ ἐπιτρέψας· αὐτὸς δὲ ἦγε πεζοὺς μὲν σὺν γυμνῆσί τε καὶ τοξόταις οὐ πολλῷ πλείους τῶν τρισμυρίων, ἱππέας δὲ ὑπὲρ τοὺς πεντακισχιλίους. Ἦν δὲ αὐτῷ ὁ στόλος πρῶτον μὲν ἐπ' Ἀμφίπολιν καὶ τὰ στόματα τοῦ Στρυμόνος ποταμοῦ, ἔπειτα δ' ἐπ' Ἄβδηρα καὶ Μαρώνειαν, πόλεις Ἑλληνίδας ἐπὶ θαλάττῃ ᾠκισμένας. Ἐντεῦθεν δ' ἐπὶ τὸν Ἕβρον ποταμὸν ἀφικόμενος διαβαίνει τοῦτον ῥᾳδίως, καὶ ὁμοίως ὕστερον περάσας τὸν Μέλανα ποταμὸν ἀφικνεῖται εἰς Σηστὸν ἐν εἴκοσι ταῖς πάσαις[5]) ἡμέραις ἀπὸ τῆς οἴκοθεν ἐξόδου.

Ἐντεῦθεν δὲ τὸν μὲν Παρμενίωνα τῶν πεζῶν τοὺς πολλοὺς καὶ τὴν ἵππον πᾶσαν διαβιβάσαι ἐκέλευσεν εἰς Ἄβυδον, καὶ διεβίβασε τριήρεσι μὲν ἑκατὸν καὶ ἑξήκοντα, πλοίοις δὲ ἄλλοις πολλοῖς· αὐτὸς δέ, ὡς οἱ πλεῖστοι λέγουσιν, ἐξ Ἐλαιοῦντος εἰς τὸν Ἀχαιῶν λιμένα[6]) ἐποιήσατο τὸν πλοῦν. Καὶ κατὰ μέσον τὸν πόρον[7])

---

[1]) den Dem., Lyk. und ihre Parteigenossen (vgl. S. 88, 5), d. h. die Häupter der Patriotenpartei. [2]) s. S. 90, 9. [3]) aus Eifer für. [4]) τὸ ἦρ, ἦρος, kontr. aus ἔαρ, ἔαρος. Gr. § 125 (60). [5]) im ganzen. Gr. § 142 (121), 1. b. [6]) Ἀχαιῶν λιμήν hieß eine kleine Bucht an der Nordwestküste von Troas, unweit vom Vorgebirge Sigeum, in welche sich der Skamander ergießt. [7]) in der Mitte der Furt. Gr. § 141 (120), 2.

ἔσφαξε ταῦρον τῷ Ποσειδῶνι καὶ ἔσπεισε Νηρηΐσιν[1]) ἐκ φιάλης[2]) χρυσῆς εἰς τὴν θάλατταν. Λέγουσι δὲ καὶ πρῶτον αὐτὸν ἐκ τῆς νεὼς πηδῆσαι εἰς τὴν γῆν τὴν Ἀσίαν καὶ βωμοὺς ἱδρύσασθαι Διὸς καὶ Ἀθηνᾶς καὶ Ἡρακλέους[1]). Ἀπελθὼν δὲ εἰς Ἴλιον ἔθυσε τῇ Ἀθηνᾷ καὶ τῷ Πριάμῳ, καὶ ἐστεφάνωσεν αὐτὸς τὸν Ἀχιλλέως τάφον (Ἡφαιστίωνα δὲ λέγουσι τὸν Πατρόκλου τάφον στεφανῶσαι), καὶ ἐμακάρισεν Ἀλέξανδρος Ἀχιλλέα, ὅτι Ὅμηρος αὐτῷ γένοιτο κήρυξ εἰς τὴν ἔπειτα μνήμην[3]).

Ἐξ Ἰλίου δὲ εἰς Ἀρίσβην ἧκεν, ὅπου πᾶσα ἡ δύναμις ἐστρατοπέδευτο, καὶ τῇ ὑστεραίᾳ[4]) εἰς Περκώτην· τῇ δὲ ἄλλῃ[4]) πρὸς τῷ Πρακτίῳ ποταμῷ ἐστρατοπέδευσεν, ὃς ῥέων ἐκ τῶν Ἰδαίων ὀρῶν ἐμβάλλει εἰς θάλατταν τὴν μεταξὺ τοῦ Ἑλλησπόντου τε καὶ τοῦ Εὐξείνου πόντου. Μετὰ δὲ ταῦτα οὐ πολλαῖς ἡμέραις ὕστερον ἤκουσε τοὺς τῶν Περσῶν στρατηγοὺς ἐστρατοπεδεῦσθαι πρὸς Ζελείᾳ τῇ πόλει σὺν τῇ ἵππῳ τῇ βαρβαρικῇ καὶ τοῖς Ἕλλησι τοῖς μισθοφόροις.

Ἐκ τούτου δὴ Ἀλέξανδρος προὐχώρει ἐπὶ τὸν Γρανικὸν ποταμὸν συντεταγμένῳ τῷ στρατῷ· εἶχε δὲ τὴν μὲν τῶν ὁπλιτῶν φάλαγγα διπλῆν[5]), τοὺς δὲ ἱππέας κατὰ τὰ κέρατα[6]) ἦγε, τὰ δὲ σκευοφόρα ὄπισθεν ἕπεσθαι ἐκέλευσεν. Ἐπεὶ δὲ οὐ πολὺ ἀπεῖχε τοῦ Γρανικοῦ ποταμοῦ, ἀπηγγέλθη τοὺς Πέρσας πέραν ἐπὶ τῷ Γρανικῷ συντετάχθαι ὡς εἰς μάχην.

Ἔνθα δὴ Ἀλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν συνέταττεν ὡς μάχην ποιησόμενος· Παρμενίων δὲ προσελθὼν ἔλεγεν Ἀλεξάνδρῳ τάδε· „Ἐμοὶ δοκεῖ, ὦ βασιλεῦ, ἀγαθὸν εἶναι στρατοπεδεύσασθαι ἐπὶ τῇ τοῦ ποταμοῦ ὄχθῃ, ὡς ἔχομεν[7]). Τοὺς γὰρ πολεμίους οὐκ εἰκός ἐστι τολμήσειν πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ[8]) νυκτὸς ἐπελθούσης ἀπάξουσι τὸ στρατόπεδον, ὥστε αὔριον ῥᾳδίως διαβιβῶμεν τὸ στράτευμα. Νῦν δὲ οὐκ ἂν διαβιβάσαιμεν ἀκινδύνως· ὁ γὰρ ποταμὸς βαθύς, αἱ δὲ ὄχθαι αὗται, ὁρᾷς, ὅτι ὑψηλόταται καὶ ἀπότομοί εἰσιν· καὶ τὸ πρῶτον σφάλμα[9]) εἴς τε τὰ παρόντα καὶ εἰς τὸν ἅπαντα πόλεμον χαλεπὸν ἂν εἴη.“ Ἀλέξανδρος δέ· „Ταῦτα

---

1) die berühmteste der Nereustöchter war Thetis, die Mutter des Achilleus, von dem Alexander mütterlicherseits abstammen wollte, während er durch den Vater ein Nachkomme des Herakles zu sein sich rühmte. 2) ἡ φιάλη die Schale. 3) ἡ ἔπειτα μνήμη der Ruhm bei der Nachwelt, der Nachruhm. 4) sc. ἡμέρᾳ. 5) wegen der Enge des Weges bildete er zwei Kolonnen, jede in Phalanxordnung. 6) in langem Zuge. 7) ut sumus, d. i. gerüstet. 8) deshalb. 9) Mißgeschick, Niederlage.

μέν", ἔφη, „ὦ Παρμενίων, γιγνώσκω κἀγώ. Αἰσχύνομαι δέ, εἰ τὸν μὲν Ἑλλήσποντον ῥᾳδίως ἐπέρασα, ὁ δὲ ποταμὸς οὗτος, μικρὸν ῥεῦμα[1]), κωλύσει ἡμᾶς· ἐπιχειρῶμεν οὖν ὡς ἔχομεν[2]) τῷ ἔργῳ."

Μετὰ δὲ ταῦτα Παρμενίωνα μὲν ἀπέπεμψεν τοῦ ἀριστεροῦ κέρατος ἡγησόμενον, αὐτὸς δὲ ἐπὶ τὸ δεξιὸν παρῆλθεν. Καὶ χρόνον μέν τινα ἀμφότερα τὰ στρατεύματα ἡσυχίαν ἦγεν, καὶ σιγὴ ἦν πολλὴ ἀμφοτέρωθεν. Οἱ γὰρ Πέρσαι προσέμενον τοὺς Μακεδόνας ὡς ἐπιχειρήσοντες αὐτοῖς ἀναβαίνουσιν ἐκ τοῦ ποταμοῦ. Ἀλέξανδρος δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον τοὺς ἀμφ' ἑαυτὸν ἕπεσθαι καὶ ἄνδρας ἀγαθοὺς γενέσθαι ἐκέλευσεν. Καὶ τὸν μὲν Ἀμύνταν καὶ Πτολεμαῖον ἐκέλευσε διαβαίνειν ἔχοντας τούς τε ἱππέας καὶ τοὺς Παίονας καὶ τῶν πεζῶν μίαν τάξιν, αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ὑπὸ σαλπίγγων[3]) ἐμβαίνει εἰς τὸν ποταμόν· οἱ δὲ εἵποντο ἀλαλάζοντες. Ἔνθα δὴ μάχη γίγνεται καρτερά· οἱ μὲν γὰρ Πέρσαι ἄνωθεν ἀκοντίζοντες εἰς τοὺς πολεμίους ἐκώλυον τὴν ἔκβασιν, οἱ δὲ Μακεδόνες κάτωθεν ἀναβαίνοντες δεινότατα ἐπόνουν. Καὶ πρῶτον μέν, καίπερ[4]) ἰσχυρότατα μαχόμενοι, ἐκακοπάθουν[5]) ὑπὸ τῶν πολεμίων· τῷ τε πλήθει ἐλαττούμενοι[6]) καὶ ἀντιτεταγμένοι τῷ κρατίστῳ τῆς Περσικῆς ἵππου μέρει κατεκόπησαν οἱ πρῶτον ἀναβαίνοντες· ἐπεὶ δὲ Ἀλέξανδρος αὐτὸς πλησιάσας ἔχων τὸ δεξιὸν κέρας ἐνέβαλεν εἰς τοὺς Πέρσας, ἐπλεονέκτησαν[6]) ἤδη οἱ Μακεδόνες, καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλον ἐῴκει· συνεχόμενοι[7]) γὰρ ἵπποι τε ἵπποις καὶ ἄνδρες ἀνδράσιν ἠγωνίζοντο. Καὶ Ἀλεξάνδρῳ αὐτῷ συντρίβεται[8]) τὸ δόρυ ἐν τῇ μάχῃ, ἄλλο δὲ λαβὼν καὶ ὁρῶν Μιθριδάτην, τὸν Δαρείου γαμβρόν[9]), πολὺ πρὸ τῶν ἄλλων προιππεύοντα[10]) καὶ ἐπάγοντα ὥσπερ ἔμβολον[11]) τῶν ἱππέων, ἐλαύνει καὶ αὐτὸς[12]) πρὸ τῶν ἄλλων· καὶ παίσας εἰς τὸ πρόσωπον τῷ δόρατι καταβάλλει τὸν Μιθριδάτην. Ἐν δὲ τούτῳ Ῥοισάκης ἐπελαύνει τῷ Ἀλεξάνδρῳ καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι[13]), καὶ τοῦ μὲν κράνους τι ἀπέκοψε, τὴν δὲ πληγὴν ἐδέξατο τὸ κράνος. Καὶ καταβάλλει καὶ τοῦτον Ἀλέξανδρος παίσας τῇ λόγχῃ διὰ τοῦ θώρακος εἰς τὸ στέρνον. Σπιθριδάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ'

---

1) Flüßchen. 2) d. i. sofort (S. 97, 10). 3) unter Trompetenschall. 4) R. 30. 5) κακοπαθέω erleide Unglück, nehme Schaden. 6) ἐλαττόομαι bin kleiner, geringer; πλεονεκτέω habe die Oberhand, bin überlegen. 7) συν-έχομαι gerate zusammen. 8) συν-τρίβω zerschmettere. 9) ὁ γαμβρός der Schwiegersohn. 10) προ-ιππεύω reite voraus. 11) ὁ ἔμβολος der Keil. 12) ebenfalls. 13) ἡ κοπίς, ίδος der kleine (krumme) Säbel.

Ἀλέξανδρον τὴν κοπίδα, ὁρῶν δὲ Κλεῖτος ὁ Δρωπίδου ἀποκόπτει τὸν ὦμον τοῦ Σπιθριδάτου αὐτῇ κοπίδι[1]).

Καὶ οἱ Πέρσαι, πιεζόμενοι μὲν ἤδη πανταχόθεν ὑπὸ τῶν ἱππέων, πολλὰ δὲ καὶ ὑπὸ τῶν πεζῶν βλαπτόμενοι ἐγκλίνουσιν ἐνταῦθα πρῶτον, ὅπου Ἀλέξανδρος ἐμάχετο· ἔπειτα δὲ καὶ ἡ ἄλλη στρατιὰ πᾶσα εἰς φυγὴν ἐτράπετο. Ὕστατοι δ' ἀντεῖχον μόνοι οἱ Ἕλληνες μισθοφόροι. Τούτοις οὖν τὴν φάλαγγα ἐπαγαγὼν καὶ τοὺς ἱππέας πανταχόθεν κατακόπτει αὐτούς, ὥστε διέφυγε μὲν οὐδείς, ἐζωγρήθησαν δὲ ἀμφὶ τοὺς δισχιλίους. Καὶ τῶν μὲν Περσικῶν ἱππέων ἀπέθανον εἰς χιλίους, Μακεδόνων δὲ τῶν ἑταίρων[2]) ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε ἐν τῇ πρώτῃ προσβολῇ (καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ[3]) εἰσίν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον ποιῆσαι), τῶν δὲ ἄλλων ἱππέων ὑπὲρ τοὺς ἑξήκοντα, πεζοὶ δὲ εἰς τοὺς τριάκοντα. Καὶ τούτους μὲν τῇ ὑστεραίᾳ ἔθαψεν Ἀλέξενδρος σὺν τοῖς ὅπλοις καὶ ἄλλῳ κόσμῳ, τῶν δὲ τραυματισθέντων πολλὴν εἶχεν ἐπιμέλειαν· ἔθαψε δὲ καὶ τῶν Περσῶν τοὺς ἡγεμόνας καὶ τοὺς μισθοφόρους Ἕλληνας, οἳ σὺν τοῖς πολεμίοις στρατεύοντες ἀπέθανον· ὅσους δὲ αὐτῶν αἰχμαλώτους ἔλαβε, τούτους δήσας ἐν πέδαις εἰς Μακεδονίαν ἀπέπεμψεν ἐργάζεσθαι[4]), ὅτι Ἕλληνες ὄντες Ἕλλησιν ὑπὲρ τῶν βαρβάρων ἐμάχοντο. Ἀποπέμπει δὲ καὶ εἰς Ἀθήνας τριακοσίας πανοπλίας Περσικὰς ἀνάθημα τῇ Ἀθηνᾷ ἐν ἀκροπόλει, καὶ ἐπίγραμμα ἐπιγραφῆναι ἐκέλευε τόδε·

ΑΛΕΞΑΝΔΡΟΣ ΦΙΛΙΠΠΟΥ
ΚΑΙ ΟΙ ΕΛΛΗΝΕΣ ΠΛΗΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ
ΑΠΟ[5]) ΤΩΝ ΒΑΡΒΑΡΩΝ ΤΩΝ ΤΗΝ ΑΣΙΑΝ
ΚΑΤΟΙΚΟΥΝΤΩΝ.

91. Alexander zieht weiter bis Gordium und Tarsus.

Arr. An. I, 17 — II, 4.

Μετὰ ταύτην τὴν ἐπὶ Γρανικῷ νίκην Ἀλέξανδρος ἐπὶ Σάρδεων προὐχώρει. Καὶ ἀπέχοντος αὐτοῦ ὅσον ἑβδομήκοντα σταδίους Σάρδεων ἧκον Μιθρίνης τε ὁ φρούραρχος τῆς ἀκροπόλεως καὶ

---

[1]) mitsamt dem S. Gr. § 169 (155), 3. [2]) ἑταῖροι, „Waffenbrüder" (sc. des Königs) hieß die Elite der makedonischen Reiterei, und im engeren Sinne auch die königliche Leibgarde. [3]) in der makedonischen Stadt Dion standen auch die Bildsäulen der maked. Könige in einem Tempel. Diese hier genannte berühmte Gruppe von 25 ehernen Statuen (ἡ εἰκών, όνος) wurde später nach Rom gebracht. [4]) zu öffentlichen Strafarbeiten. [5]) ἀπό auf Siegesweihinschriften bezeichnet den Gegner, welchem die Beute abgenommen wurde.

Σαρδιανῶν οἱ δυνατώτατοι, καὶ ἐνεχείρισαν οἱ μὲν τὴν πόλιν, ὁ δὲ Μιθρίνης τὴν ἄκραν καὶ τὰ χρήματα. Καταλιπὼν δὲ ἐν Σάρδεσι Παυσανίαν ἔχοντα φρουρὰν ἱκανὴν αὐτὸς ἐπορεύετο εἰς Ἔφεσον. Λαμβάνει δὲ καὶ ταύτην τὴν πόλιν ἄνευ μάχης· τοὺς δὲ φόρους, ὅσους τοῖς βαρβάροις ἀπέφερον[1]) οἱ Ἐφέσιοι μέχρι νῦν, τῇ Ἀρτέμιδι τελεῖν[2]) ἐκέλευσεν. Καὶ ἔθυσεν αὐτὸς θυσίαν τῇ Ἀρτέμιδι καὶ πομπὴν ἔπεμψε[3]) σὺν τῇ στρατιᾷ πάσῃ ὡπλισμένῃ τε καὶ ὡς εἰς μάχην τεταγμένῃ. Ἐκ δὲ τούτου αἱ πλεῖσται πόλεις τῆς τε Αἰολίδος καὶ τῆς Ἰωνίας διὰ πρέσβεων ἀμαχεὶ προσεχώρησαν[4]) τῷ βασιλεῖ πλὴν Μιλήτου· ταύτην δὲ ἐν ὀλίγῳ αἱρεῖ πολιορκίᾳ.

Μετὰ δὲ ταῦτα ἐπὶ Καρίας ἐπορεύετο, ὅτι ἐν Ἁλικαρνασσῷ συνειλέχθαι οὐκ ὀλίγην δύναμιν τῶν τε βαρβάρων καὶ Ἑλληνικῶν ξένων ἤκουσεν. Ὅσαι δὲ πόλεις μεταξὺ Μιλήτου καὶ Ἁλικαρνασσοῦ ἦσαν, ταύτας ἐξ ἐφόδου[5]) ἔλαβε πάσας· Ἁλικαρνασσὸν δὲ ἥ τε φύσις τοῦ χωρίου ὀχυρωτάτην ἐποίει, καὶ τότε τῆς τε πόλεως καὶ πάσης τῆς κάτω Ἀσίας[6]) καὶ τοῦ ναυτικοῦ παντὸς ἡγεμὼν ἦν Μέμνων ὁ Ῥόδιος, ἀνὴρ πολεμικώτατος καὶ ἀνδρειότατος. Καὶ μὴν οὗτος ὁ ἀνὴρ ἐπιπονωτάτην ἐποίησε τὴν πολιορκίαν τοῖς Μακεδόσιν· πολλὰ γὰρ πράγματα αὐτοῖς παρεῖχεν ἐκδρομὰς ἐπεξερχόμενος[7]) καὶ πύργους ταῖς μηχαναῖς ἀντοικοδομῶν[8]) καὶ τὰ τείχη βεβλαμμένα ἀνατειχίζων[9]) καὶ τὰς μηχανὰς κατακάων. Οὕτως ἓξ μῆνας ἀνδρειότατα ἀντεῖχεν· τέλος[10]) δὲ ἠναγκάσθη ἀπολιπεῖν τὴν πόλιν, καὶ νυκτὸς κατακαύσας τοὺς λιθίνους πύργους καὶ τὰς στοὰς[11]) καὶ τὰς οἰκίας τὰς πλησίον τοῦ τείχους ἀπεχώρησεν εἰς τὴν ἄκραν. Γιγνώσκων δὲ ὁ βασιλεὺς τὴν ἄκραν δυσάλωτον οὖσαν ἔλυσε τὴν πολιορκίαν, καὶ θάψας τοὺς νεκροὺς τὰς μὲν μηχανὰς εἰς Τράλλεις ἀπαγαγεῖν ἐκέλευσε, τὴν δὲ πόλιν εἰς ἔδαφος[12]) κατέσκαψεν. Τῆς δὲ Καρίας φυλακὴν καταλιπὼν ἱκανὴν Παρμενίωνα μὲν πέμπει ἐπὶ Σάρδεων καὶ κελεύει ἀπὸ Σάρδεων ἐπὶ Φρυγίαν πορεύεσθαι, αὐτὸς δὲ ἐπὶ τὰς ἐν Λυκίᾳ τε καὶ Παμφυλίᾳ πόλεις στέλλεται. Προσκτᾶται δὲ καὶ ταύτας ταχέως, τὰς μὲν πείσας[13]), Τελμησσόν τε καὶ Πίναρα

---

[1]) *ἀπο-φέρω* entrichte (als Schuldigkeit. Gr. § 182, 4. a. E.). [2]) *τελέω* hier: „bezahle“. [3]) **πομπὴν πέμπω** halte einen feierlichen Umzug, eine Prozession. [4]) **προσχωρέω** trete bei, erkläre mich für besiegt. [5]) beim ersten Angriff. [6]) *ἡ κάτω Ἀσία* (Niederasien) Kleinasien. [7]) *ἐκδρομὰς ἐπ-εξ-έρχομαι* mache Ausfälle (zum Angriff). [8]) *π. τ. μ. ἀντ.* Türme gegen die Belagerungsmaschinen aufführen. [9]) *ἀνα-τειχίζω* baue wieder auf, bessere aus. [10]) zuletzt. [11]) *αἱ στοαί* die Vorratshallen, Zeughäuser. [12]) S. 90, 8. [13]) S. 47, 4.

καὶ Ξάνθον καὶ Πάταρα καὶ ἄλλα πολίσματα[1]) *εἰς τριάκοντα, τὰς δὲ καὶ βίᾳ, Ἄσπενδον καὶ Σαγαλασσόν.*

Μετὰ δὲ ταῦτα εἰς Γόρδιον ἐπορεύθη· ἔστι δὲ τὸ Γόρδιον τῆς Φρυγίας τῆς ἐφ' Ἑλλησπόντου, ᾤκισται δὲ ἐπὶ τῷ Σαγγαρίῳ ποταμῷ. Ἐνταῦθα ἀπήντησεν Ἀλεξάνδρῳ Παρμενίων, ὃς ἐξεπέμφθη ἐξ Ἁλικαρνασσοῦ, σὺν μεγάλῃ δυνάμει νεωστὶ συλλεγείσῃ.

Ἀλέξανδρος δὲ ὡς ἐν Γορδίῳ διέτριβεν, ἐπιθυμία λαμβάνει αὐτόν, ἀνελθόντα εἰς τὴν ἄκραν θεάσασθαι τὴν ἅμαξαν τοῦ Γορδίου καὶ τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν. Ἐλέγετο δὲ περὶ ἐκείνης τῆς ἁμάξης τάδε. Ἦν ποτε ἐν Φρυγίᾳ Γόρδιος, ἀνὴρ πένης καὶ ὀλίγην ἔχων γῆν ἐργάζεσθαι καὶ ζεύγη βοῶν δύο. Καί ποτε ἀροῦντι[2]) *αὐτῷ ἐκαθέζετο ἀετὸς ἐπὶ τὸ ζυγὸν καὶ αὐτοῦ ἔμεινε μέχρι ἑσπέρας. Ἀποροῦντα δὲ τῷ πράγματι ἐκέλευσαν οἱ μάντεις θῦσαι Διὶ βασιλεῖ, μεγάλας ἐλπίδας ἐμβάλλοντες· θύσαντι δ' αὐτῷ ἐγένετο υἱὸς Μίδας ὄνομα. Ἐπεὶ δὲ Μίδας μὲν ἀνὴρ ἦν καλὸς καὶ γενναῖος, οἱ δὲ Φρύγες στάσει τινὶ ἐπιέζοντο, ἐμαντεύθη τούτοις, ὅτι ἅμαξα ἄξει αὐτοῖς βασιλέα, καὶ ὅτι οὗτος αὐτοῖς παύσει τὴν στάσιν. Ἔτι δὲ βουλευομένων αὐτῶν περὶ τούτων ἦλθεν ὁ Μίδας ἅμα τῷ πατρὶ καὶ τῇ μητρὶ προσελαύνων τῇ ἐκκλησίᾳ αὐτῇ ἁμάξῃ*[3]). *Αἱρεῖται οὖν ὑπὸ τῶν Φρυγῶν βασιλεὺς καὶ παύει τὴν στάσιν. Τὴν δὲ τοῦ πατρὸς ἅμαξαν διεφύλαττον*[4]) *οἱ ἐπιχώριοι ἐν τῇ ἄκρᾳ, ἀνάθημα τοῦ Διὸς τοῦ βασιλέως. Ἐλέγετο δὲ καὶ τόδε περὶ τῆς ἁμάξης, ὅστις λύσειε τοῦ ζυγοῦ τὸν δεσμόν, τοῦτον ἄρξειν τῆς Ἀσίας· τοῦ δὲ δεσμοῦ οὔτε τέλος οὔτε ἀρχὴ ἐφαίνετο. Ἐπειρᾶτο μὲν οὖν καὶ Ἀλέξανδρος λῦσαι τὸν δεσμόν, ἀλλ' οὐχ οἷός τε ἦν· οὐ βουλόμενος δὲ ἄλυτον καταλιπεῖν σπασάμενος τὸ ξίφος διέκοψε τὸν δεσμόν, αὐτὸν λελύσθαι φάσκων. Καὶ τῆς νυκτὸς ἐκείνης βρονταὶ καὶ πῦρ ἐξ οὐρανοῦ ἐπεσήμηναν*[5])· *καὶ ἐπὶ τούτοις*[6]) *ἔθυσε τῇ ὑστεραίᾳ ὁ Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα καὶ τοῦ δεσμοῦ τὴν λύσιν.*

Ἀπὸ δὲ Γορδίου ὁρμηθεὶς Ἀλέξανδρος διὰ τῆς Γαλατικῆς καὶ Καππαδοκίας ἐπορεύετο· προσκτησάμενος δὲ ταύτας τὰς χώρας καὶ κρατήσας τῶν τῆς Κιλικίας πυλῶν[7]) *κατέβαινεν εἰς τὴν Κιλικίαν καὶ ἐλάμβανε Ταρσοὺς τὴν πόλιν ἀμαχεί. Διὰ μέσης δὲ τῆς πόλεως*

---

[1]) *τὸ πόλισμα* Städtchen. [2]) *ἀρόω* pflüge. [3]) *αὐτῇ ἁμάξῃ* mitsamt dem Wagen. Gr. § 169 (155), 3. [4]) *διαφυλάττω* bewahre auf. [5]) *ἐπισημαίνειν* hier intr.: „als Vorzeichen erscheinen". [6]) infolgedessen. [7]) die kilikischen Pässe.

ῥεῖ ποταμὸς Κύδνος ὄνομα[1]), εὖρος[1]) δύο πλέθρων· ψυχρὸς δέ ἐστι καὶ τὸ ὕδωρ[1]) καθαρός. Βουλόμενος οὖν ἀναψύχειν[2]) τὸ σῶμα ἐκ τῆς πορείας ὁ βασιλεὺς ἐλούετο. Εὐθὺς δὲ μετὰ τὸ λουτρὸν χαλεπώτατα ἐνόσησεν· καὶ οἱ μὲν ἄλλοι ἰατροὶ οὐκ ᾤοντο ἀπαλλαγήσεσθαι Ἀλέξανδρον τῆς νόσου, Φίλιππος δὲ ὁ Ἀκαρνὰν φαρμάκῳ ἰάσεσθαι ἐπηγγείλατο. Παρασκευάζοντος δὲ τοῦ ἰατροῦ τὸ φάρμακον ἦλθεν ἐπιστολὴ παρὰ Παρμενίωνος, ἐν ᾗ ἐγέγραπτο τάδε· „Φύλαξαι, ὦ βασιλεῦ, Φίλιππον. Ἀκούω γὰρ αὐτὸν διεφθάρθαι[3]) πολλοῖς χρήμασιν ὑπὸ Δαρείου· ἀποκτενεῖ σε φαρμάκῳ". Ταύτην τὴν ἐπιστολὴν ἀναγιγνώσκειν ἐκέλευσεν ὁ βασιλεὺς τὸν Φίλιππον· ἐν ᾧ[4]) δὲ ἀνεγίγνωσκεν ἐκεῖνος, αὐτὸς ἔπινε τὸ φάρμακον, καὶ μετ' ὀλίγον ἀληθῶς ἀπηλλάγη τῆς νόσου Ἀλέξανδρος.

92. Weitermarsch. Schlacht bei Issus.

Arr. An. II, 5—14.

Ὀλίγαις δὲ ἡμέραις ὕστερον εἰς Σόλους ἀφίκετο· καὶ φρουρὰν εἰσήγαγεν εἰς τὴν πόλιν καὶ ἐπέβαλεν αὐτοῖς τάλαντα ἀργυρίου διακόσια ζημίαν, ὅτι πρὸς τοὺς Πέρσας μᾶλλον τὸν νοῦν εἶχον. Ἔνθεν δέ, ἀναλαβὼν τῶν μὲν πεζῶν τῶν Μακεδόνων τρεῖς τάξεις, τοὺς δὲ τοξότας καὶ ἀκοντιστὰς πάντας, ἐξελαύνει ἐπὶ τοὺς τὰ ὄρη κατέχοντας Κίλικας, καὶ ἐν ἑπτὰ ταῖς πάσαις[5]) ἡμέραις τοὺς μὲν βίᾳ, τοὺς δὲ ὁμολογίᾳ καταστρεψάμενος ἐπανῆλθεν εἰς Σόλους. Θύσας δὲ ἐκεῖ τῷ Ἀσκληπιῷ καὶ πομπὴν πέμψας[6]) αὐτός τε καὶ ἡ στρατιὰ πᾶσα ἐξελαύνει καὶ ἀφικνεῖται εἰς Μαλλόν.

Ἔτι δὲ ἐν Μαλλῷ ὄντι ἠγγέλθη αὐτῷ Δαρεῖον ἐν Σώχοις[7]) σὺν τῇ πάσῃ δυνάμει στρατοπεδεύεσθαι. Ὁ δὲ χῶρος οὗτος ἔστι μὲν τῆς Συρίας γῆς, ἀπέχει δὲ τῶν πυλῶν τῆς Κιλικίας καὶ τῆς Συρίας εἰς δύο μάλιστα[8]) σταθμούς. Ἔνθα δὴ συναγαγὼν τοὺς ἑταίρους[9]) φράζει αὐτοῖς τὰ ἠγγελμένα περὶ Δαρείου τε καὶ τῆς στρατιᾶς αὐτοῦ· οἱ δὲ ἐντεῦθεν ὡς εἶχεν[10]) ἄγειν ἐκέλευον. Ὁ δὲ τότε μὲν ἐπαινέσας αὐτοὺς διέλυσε τὸν σύλλογον· τῇ δὲ ὑστεραίᾳ προῆγεν ὡς ἐπὶ Δαρεῖον καὶ τοὺς Πέρσας, καὶ δευτεραῖος[11]) ὑπερβαλὼν τὰς πύλας[12]) ἐστρατοπεδεύσατο πρὸς Μυριάνδῳ τῆς Συρίας. Τότε δὲ Δαρεῖος, ὑπερβαλὼν τὸ Ἀμανὸν ὄρος[12]), ἤδη, ὄπισθεν

---

1) Accusative der Beziehung. Gr. § 151 (136). 2) ἀνα-ψύχω kühle ab, erfrische. 3) S. 83, 10. 4) während. 5) im ganzen. Gr. § 142 (121), 1. b. 6) S. 95, 3. 7) τὰ Σῶχα od. οἱ Σῶχοι, sonst unbekannt. 8) höchstens. 9) S. 94, 2. 10) (wie er war), sogleich, sofort. 11) S. 86, 5. 12) die östlich von Issus am Ostrande des Meerbusens gerade nach Süden laufende Kette des

Ἀλεξάνδρου γενόμενος, ἐπ' Ἰσσοὺς τῆς Κιλικίας προῆγε τὸ στράτευμα. Οὗτος γάρ, ἐπεὶ ἤκουσε τὴν ἐπὶ τῷ Γρανικῷ ἧτταν, ἐκ πάσης τῆς βασιλείας πλείστην δύναμιν συνέλεξεν. Ταύτην ἔχων ἐπορεύθη εἰς τὴν Συρίαν, καὶ ἐκλεξάμενος πεδίον μέγα καὶ ἅμα μὲν τῷ πλήθει τῆς στρατιᾶς ἐπιτήδειον, ἅμα δὲ τῇ ἵππῳ σύμφορον ἐστρατοπεδεύετο ὡς ἐκεῖ ἀναμενῶν τὸν Ἀλέξανδρον. Ὡς δὲ τούτῳ πολλὴ διατριβὴ ἐγένετο ἐν Ταρσοῖς διὰ τὴν νόσον, καὶ οὐκ ὀλίγη ἐν Σόλοις διὰ τὴν πομπὴν καὶ τοὺς ὀρεινοὺς Κίλικας[1]), *Δαρεῖος μεταβουλευσάμενος*[2]) *τὴν στρατιὰν εἰς τὴν Κιλικίαν προῆγε, μάχεσθαι τοῖς Μακεδόσιν ἐπιθυμῶν· ἐνόμιζε γὰρ τὸν Ἀλέξανδρον φοβηθέντα μὴ προσάγειν.*

Λαβὼν οὖν Ἰσσοὺς εἰς τὴν ὑστεραίαν προὐχώρει ἐπὶ τὸν Πίναρον ποταμόν· Ἀλέξανδρος δέ, ὡς ἤκουσεν ἐν τῷ ὄπισθεν αὐτοῦ ὄντα Δαρεῖον, πρῶτον μὲν οὐκ ἐπίστευε τῷ λόγῳ· ἐπεὶ δὲ οἱ κατάσκοποι οἱ ἀποσταλέντες ἐπ' Ἰσσοὺς ἀπήγγειλαν τὰ ὄντα, Δαρεῖον ἐκεῖ εἶναι, μάλιστα ἥσθη ἐπὶ τῇ τοῦ βασιλέως ἀνοίᾳ, ὃς τὴν ἀνάριθμον δύναμιν ἐκ τῆς εὐρυχωρίας[3]) *εἰς τὰ στενόπορα*[4]) *ἤγαγεν. Καὶ ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν νυκτὸς ὀπίσω πορεύεται ἐπὶ τοὺς Πέρσας.*

Δαρεῖος δέ, ὡς ἠγγέλθη αὐτῷ Ἀλέξανδρος ἤδη προσάγων ὡς εἰς μάχην, παρὰ τὸν ποταμὸν ἔταξε τὴν στρατιάν· ἐλέγετο δὲ εἶναι εἰς ἑξήκοντα μυριάδας μαχίμων· αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως εἶχεν· οὕτω γὰρ νόμος τοῖς τῶν Περσῶν βασιλεῦσι τετάχθαι. Ἀλέξανδρος δέ, ἐπειδὴ αὐτῷ[5]) *διετέτακτο τὸ στράτευμα, πάντῃ παριππεύων*[6]) *διεκελεύσατο ἄνδρας ἀγαθοὺς γενέσθαι, οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ λοχαγοὺς ὀνομαστὶ καλῶν. Ἔπειτα πρῶτον μὲν βάδην*[7]) *προῆγε τὴν δύναμιν· ὡς δὲ ἐντὸς βελῶν ἦσαν, πρῶτοι δὴ οἱ περὶ Ἀλέξανδρον καὶ αὐτὸς Ἀλέξανδρος, ἐπὶ τοῦ δεξιοῦ κέρατος τεταγμένοι, δρόμῳ*[8]) *εἰς τὸν Πίναρον*

Amanusgebirges hat drei Pässe; durch den nördlichsten kam Darius aus Ober-Syrien in die kilikische Ebene, als Alexander durch den mittleren (zwischen Issus und dem späteren Alexandria gelegen, als Grenze von Kilikien und Syrien befestigt, Xen. An. I, 4) und südlicheren schon gegen Süden vorgedrungen war. Alexander zog nun durch jenen wieder zurück bis Issus und kam also in der Schlacht südlich von Darius zu stehen.

[1]) *ὀρεινός*, 3. gebirgig; *ὀρ. Κίλ.* Gebirgskiliker. [2]) unter Änderung seines Planes. [3]) *ἡ εὐρυχωρία* der weite Raum, das offene Feld. [4]) *τὰ στενόπορα* die Engpässe. [5]) s. v. a. *ὑπ' αὐτοῦ*, Dat. auctoris. Gr. § 168, 2. b (154, 2). [6]) überall hinreitend. [7]) schrittweise, im Schritt. [8]) im Lauf (*ὁ δρόμος*), im Sturmschritt.

ποταμὸν εἰσέβαλον καὶ ἄνω ἐπὶ τὰς ὄχθας ἔσπευσαν. Εὐθὺς δέ, ὡς ἐν χερσὶν ἡ μάχη ἐγένετο, τρέπονται τοῦ Περσικοῦ στρατεύματος οἱ ἐπὶ τῷ ἀριστερῷ κέρατι τεταγμένοι· καὶ ταύτῃ μὲν λαμπρῶς ἐνίκα Ἀλέξανδρος· ἐν δὲ τῷ ἀριστερῷ κέρατι ἐπιέζοντο οἱ Μακεδόνες ὑπὸ τῶν Ἑλληνικῶν μισθοφόρων τῶν Δαρείου. Καὶ ἐνίκησαν ἄν[1]) οἱ τοῦ Δαρείου, εἰ μὴ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρατος τάξεις, τετραμμένους ἤδη τοὺς καθ' ἑαυτοὺς[2]) Πέρσας ὁρῶσαι, ἐβοήθησαν[1]). Τότε δὲ δρόμῳ ἔφυγε πᾶσα ἡ στρατιά· ἔφυγε δὲ καὶ Δαρεῖος, πρῶτον μὲν ἐπὶ τοῦ ἅρματος, ὕστερον δὲ ἐφ' ἵππου, καταλιπὼν τό τε ἅρμα καὶ τὴν ἀσπίδα ἐπ' αὐτῷ καὶ τὸν κάνδυν[3]) καὶ τὸ τόξον. Καὶ ταῦτα μὲν λαμβάνουσι τῶν Μακεδόνων τινὲς διώκοντες· αἱροῦσι δὲ καὶ τὸ στρατόπεδον τὸ τῶν Περσῶν, καὶ ἐν τούτῳ τήν τε μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ ἀδελφὴν καὶ υἱὸν νήπιον[4]) καὶ θυγατέρας δύο. Λέγονται δὲ ἀποκτεῖναι οἱ Μακεδόνες ἐν τῇ τε μάχῃ καὶ ἐν τῇ διώξει τῶν Περσῶν εἰς δέκα μυριάδας, καὶ ἐν τούτοις ἱππέας ὑπὲρ τοὺς μυρίους.

Ἀλέξανδρος δέ, ἐπεὶ ἀπὸ τῆς διώξεως εἰς τὸ στρατόπεδον ἐπανῆλθεν, γυναικῶν ἤκουσεν οἰμωγήν[5])· ἐρωτήσαντι δ' αὐτῷ, αἵτινες εἶεν αἱ γυναῖκες καὶ ἀνθ' ὅτου οἰμώζοιεν[5]), ἤγγειλέ τις, ὅτι[6]) „Ἥ τε μήτηρ καὶ ἡ γυνὴ καὶ οἱ παῖδες Δαρείου οἰμώζουσιν ἐπὶ τῷ βασιλεῖ ὡς τετελευτηκότι, ἐπεὶ ἐξηγγέλθη αὐταῖς, ὅτι τὸ τόξον Δαρείου ἔχεις καὶ τὸν κάνδυν καὶ τὴν ἀσπίδα.“ Ταῦτα ἀκούσας Ἀλέξανδρος ἔπεμψε πρὸς αὐτὰς Λεόννατον, ἕνα τῶν ἑταίρων, κελεύσας ἐπαγγεῖλαι, ὅτι ζῇ Δαρεῖος. Ἀλλ' οὐδὲ ὕστερον ἠμέλει τῶν γυναικῶν, ἀλλὰ συνεχώρησεν αὐταῖς θεραπείαν βασιλικὴν καὶ τὸν ἄλλον κόσμον, καὶ καλεῖσθαι ἐκέλευσε βασιλείας.

Οὐ πολλῷ δὲ ὕστερον ἦλθον παρὰ Δαρείου πρέσβεις κομίζοντες ἐπιστολήν, ἐν ᾗ ἐνῆσαν λόγοι περὶ φιλίας καὶ συμμαχίας· Ἀλέξανδρος δὲ οὐκ ἐπείσθη.

---

[1]) hätten gesiegt, wenn nicht — geholfen hätten. [2]) τοὺς καθ' ἑαυτούς die ihnen gegenüberstehenden. [3]) ὁ κάνδυς, νος das (persische) Obergewand, der Mantel. [4]) unmündig. [5]) ἡ οἰμωγή das Jammern, die Wehklage; οἰμώζω wehklage, jammere. [6]) S. 80, 8.

Syntaktische Regeln.

1. **Attribute** stehen zwischen Artikel und Substantiv, oder hinter dem Substantiv mit wiederholtem Artikel.

2. Ist das Subjekt ein Neutrum Pluralis, so steht das Verbum finitum im Singular.

3. Beim Prädikatsnomen steht kein Artikel.

4. Die handelnde Person beim Passivum wird durch *ὑπό* mit dem Genetiv (= ab mit dem Abl.) ausgedrückt.

5. Der griechische Artikel entspricht oft dem deutschen Possessivum.

6. Auf die Fragen „**womit? wodurch?**" steht der bloße Dativ (Dat. instrumenti), entsprechend dem lat. Abl. instrumenti.

7. Beim Possessivpronomen steht der Artikel; z. B. *ὁ ἐμὸς φίλος* mein Freund.

8. Merke die **Präpositionen:**

   ἄνευ c. Gen. ohne: *ἄνευ πόνων.*
   ἀπό c. Gen. von — weg: *ἀπὸ τοῦ ποταμοῦ.*
   von — herab: *ἀπὸ τοῦ ἵππου.*
   διά c. Gen. durch: *διὰ τοῦ πεδίου.*
   ὑπέρ c. Gen. für: *ὑπὲρ τῆς ἐλευθερίας.*
   ἐπί c. Dat. auf: *ἐπὶ τοῖς πλοίοις.*
   παρά c. Dat. bei, neben: *παρὰ τῇ νήσῳ.*
   σύν c. Dat. mit, cum: *σὺν τοῖς φίλοις.*
   μετά c. Acc. nach, post: *μετὰ τὴν μάχην.*
   πρός c. Acc. zu, gegen: *πρὸς τοὺς Πέρσας.*
   (freundl. u. feindl.)

9. Personennamen stehen meistens ohne, Ländernamen dagegen meistens mit dem Artikel.

10. Merke: πᾶσα χώρα **jedes** Land.
πᾶσα ἡ χώρα das **ganze** Land.
πᾶσαι αἱ χῶραι **alle** Länder.

11. Das Participium ohne Artikel entspricht oft deutschen konjunktionalen Nebensätzen (indem, wenn, während, weil, obgleich u. ä.).

12. Den lat. Ablativi absoluti entsprechen im Griech. die Genetivi absoluti; z. B. Cyro regnante: *Κύρου βασιλεύοντος*.

13. *Ὁ (μὴ) παιδεύων* heißt: **wer** (nicht) erzieht,
od.: **derjenige, welcher** (nicht) erzieht.

14. Als beim Komparativ heißt *ἤ*, quam.

15. Statt *ἤ* mit Nom. oder Acc. steht oft der Gen. comparationis, entsprechend dem lat. Ablativus comparationis.

16. Von den **Präpositionen** merke (nach Regel 8) noch folgende:

1. Mit dem **Genetiv**:

ἀντί anstatt: *ἀντὶ τοῦ ἀγαθοῦ.* *πρό* vor, örtlich: *πρὸ τῶν πυλῶν.*
μέχρι bis: *μέχρι θανάτου.* zeitlich: *πρὸ τῆς μάχης.*

2. Mit dem **Accusativ**:

ἀμφί um, um — herum: *ἀμφὶ τὴν πόλιν.*
ἀνά hinauf, über — hin: *ἀνὰ τὸν ποταμόν, ἀνὰ τὸ πεδίον.*

3. Mit **Gen.** und **Acc.**:

διά c. Gen. durch, per: *διὰ τοῦ πεδίου, δι' ἀγγέλου.*
c. Acc. wegen: *διὰ τὴν νόσον.*
κατά c. Gen. von — herab: *κατὰ τῶν ὀρῶν.*
c. Acc. hinunter, über — hin: *κατὰ τὸν ποταμόν, τὴν χώραν.*
nach, gemäß: *κατὰ τοὺς νόμους.*
μετά c. Gen. mit, cum: *μετὰ τῶν συμμάχων.*
c. Acc. nach, post: *μετὰ τὴν μάχην* (Reg. 8).
περί c. Gen. über, von, de: *περὶ τῆς εἰρήνης.*
c. Acc. um — herum: *περὶ τὸ τεῖχος, οἱ περὶ Κῦρον.*
ὑπέρ c. Gen. über, super: *ὑπὲρ τῆς γῆς, κεφαλῆς.*
für, im Interesse, pro: *ὑπὲρ τῆς πατρίδος, ψυχῆς.*
c. Acc. über — hinaus: *ὑπὲρ τὸν Ἑλλήσποντον, ὑπὲρ δύναμιν.*

4. Mit **Gen., Dat.** und **Acc.**:

ἐπί c. Gen. auf: *ἐπὶ ἅρματος, ἐπὶ τῆς κεφαλῆς.*
c. Dat. auf: *ἐπὶ πλοίοις, ἐπὶ τῇ κεφαλῇ.*
wegen, zu: *ἐπὶ σοφίᾳ — ἐπὶ βλάβῃ.*
c. Acc. auf, auf — hin: *ἐφ' ἵππον, ἐπὶ Σοῦσα.*
gegen, nach: *ἐπὶ τοὺς Πέρσας, ἐφ' ὕδωρ.*

παρά c. Gen. von seiten, von — her: *παρὰ τῶν θεῶν.*
c. Dat. neben, nahe bei: *παρὰ τῇ νήσῳ.*
c. Acc. neben — hin, längs: *παρὰ τὸν ποταμόν.*
an — vorbei, gegen: *παρὰ τοὺς νόμους.*

πρός c. Gen. von seiten, von — her: *πρὸς τοῦ ποταμοῦ.*
c. Dat. bei: *πρὸς βασιλεῖ.*
c. Acc. zu, gegen — hin: *πρὸς βασιλέα* (R. 8).

ὑπό c. Gen. von (beim Passiv): *ὑπὸ τοῦ πατρός* (R. 4).
unter: *ὑπὸ τῆς γῆς.*
c. Dat. unter: *ὑπὸ τῇ γῇ.*
c. Acc. unter — hin: *ὑπὸ τὴν γῆν.*

17. Bei Verbot und Wunsch, bei Absicht und Bedingung, sowie beim Infinitiv heißt die Negation *μή*.

18. Konj., Opt., Imper. und Inf. **Aor.** enthalten an sich keine Beziehung zur Vergangenheit und werden daher oft wie die entsprechenden Formen des Präsens übersetzt. Vgl. Gr. § 188, 2 (166, 3).

19. *Παίδευε* od. *παίδευσον* erziehe!
Μὴ παίδευε od. *μὴ παιδεύσῃς* erziehe nicht!
Coni. **prohibitivus.**

20. *Παιδεύωμεν*, erudiamus, laßt uns (wir wollen) erziehen!
Μὴ παιδεύωμεν, ne erudiamus, laßt uns nicht erziehen!
Coni. **adhortativus.**

21. (*Εἴθε*) *παιδεύοιτε*, utinam erudiatis, möget ihr erziehen, o daß ihr doch, wenn ihr doch erzöget!
(*Εἴθε*) *μὴ παιδεύοιτε*, utinam ne erudiatis, möget ihr nicht erz.!
reiner Optativ des Wunsches.

22. *Παιδεύοις* (*παιδεύσειας*) *ἄν* du dürftest (könntest, möchtest) wohl erziehen.
Οὐκ ἂν παιδεύοις (*παιδεύσειας*) du dürftest (könntest, möchtest) wohl nicht erziehen.
Optativus potentialis.

23. Nach *ἐάν*, *ὅταν* und ähnlichen Konjunktionen, oder nach Relativen mit *ἄν* folgt stets der Konjunktiv.

24. a) *Ἐὰν* (*ὅταν*) *παιδεύητε*, si (cum) erudietis od. eruditis.
Ἐὰν (*ὅταν*) *παιδεύσητε*, si (cum) erudiveritis od. erudivistis.

b) *Ὃς ἂν παιδεύῃ*, quicumque erudiet od. erudit.
Ὃς ἂν παιδεύσῃ, quicumque erudiverit od. erudivit.

25. In abhängigen Sätzen kann nach regierendem Augment- od. Nebentempus für den Ind. od. Konj. der Optativ eintreten.
Optativus obliquus.

26. In **Absichts**sätzen mit *ἵνα*, *ὡς*, *ὅπως*, ut, damit,
negiert *ἵνα μή*, *ὡς μή*, *ὅπως μή* od. *μή*, ne, damit nicht,
steht nach einem Haupttempus immer der **Konj.**,
nach einem Nebentempus meist der **Opt.**

27. Nach Verba dicendi od. sentiendi steht der Infinitiv, und zwar bei gleichem Subjekt cum Nom.,
sonst der Acc. cum Inf.

28. Der Inf. kann durch Vorsetzung des Artikels substantiviert und dekliniert werden, ohne jedoch dabei seine verbale Natur einzubüßen.

29. Das Part. Fut. mit oder ohne *ὡς* bezeichnet oft die Absicht („um zu —“).

30. Das Part. mit *καίπερ* hat konzessiven Sinn: „obschon . .“.

Vocabular,

geordnet nach den einzelnen Stücken.

Naturlange *α*, *ι*, *υ* sind durchweg bezeichnet: *ᾱ*, *ῑ*, *ῡ*, soweit deren Quantität sich nicht aus der Flexionslehre ergiebt.

1.

βασιλεύω	herrsche, gebiete.
παιδεύω	erziehe.
πιστεύω	glaube, vertraue.
θῡ́ω	opfere.
λῡ́ω	löse, löse auf.
ἀγγέλλω	melde.
γιγνώσκω	erkenne, kenne.
θαυμάζω	bewundere, wundere mich.
ἄγω	führe; intr. ziehe.
ἔχω	habe, halte.
λέγω	sage, nenne.
φέρω	trage, bringe.
φεύγω	fliehe, entfliehe.
γράφω	schreibe.
φθείρω	verderbe, vernichte.
ἐκ, *ἐξ* c. Gen.	aus, von (woher? Gr. § 30 (24), 2); infolge.
ἐν c. Dat.	in, bei, auf (wo?).
εἰς c. Acc.	in, zu, nach (wohin?).
ἀεί	immer, stets.
πολλάκις	oft.
καί	und, auch, sogar.
οὐ, (*οὐκ*, *οὐχ*)	nicht. § 30 (24), 3.
μή (beim Imp.)	nicht = nē.

2.

ὁ *λόγος*	Wort, Rede.
ὁ *βίος*	Leben.
ὁ *ἵππος*	Pferd.
ὁ *λίθος*	Stein.
ὁ *νόμος*	Gesetz, Brauch.
ὁ *ξένος*	Fremdling, Söldner.
ὁ *πόνος*	Mühe, Mühsal, Not.
ὁ *τρόπος*	Art und Weise; plur. Sitten, Charakter.
ὁ *ὕπνος*	Schlaf.
ὁ *φίλος*	Freund.
ὁ *χρόνος*	Zeit.
ὁ *δῆμος*	Volk.
ὁ *δοῦλος*	Sklave, Knecht.
ὁ *ἑταῖρος*	Genosse, Gefährte.
ὁ *πλοῦτος*	Reichtum.
ὁ *ταῦρος*	Stier.
ὁ *Δᾱρεῖος*	Dareios.
ὁ *Κροῖσος*	Krösos.
ὁ *Κῦρος*	Kyros.
ὁ *Λυκοῦργος*	Lykurg.
ὁ *Ἀθηναῖος*	Athener.
ὁ *Ῥωμαῖος*	Römer.
ὁ *Θηβαῖος*	Thebaner.

ὁ ἄνθρωπος	Mensch.
ὁ ἄγγελος	Bote.
ὁ ἄνεμος	Wind.
ὁ ἥλιος	Sonne.
ὁ θάνατος	Tod.
ὁ κίνδυνος	Gefahr.
ὁ πόλεμος	Krieg.
ὁ πολέμιος	Feind.
ὁ σύμμαχος	Bundesgenosse.
ὁ Διόνυσος	Dionysos.
ὁ Ὅμηρος	Homer.
ὁ Φίλιππος	Philipp.
ὁ Αἰγύπτιος	Ägyptier.
ὁ Λακεδαιμόνιος	Lakedämonier.

3.

ὁ ἀγρός	Acker.
ὁ ἀδελφός	Bruder.
ὁ ἀριθμός	Zahl.
ὁ γεωργός	Landmann.
ὁ θεός	Gott.
ὁ θυμός	Mut, Sinn, Gesinnung, Zorn.
ὁ ἰᾱτρός	Arzt.
ὁ καρπός	Frucht.
ὁ μισθός	Sold, Lohn.
ὁ οὐρανός	Himmel.
ὁ ὀφθαλμός	Auge.
ὁ στρατηγός	Feldherr.
τὸ δῶρον	Geschenk, Gabe.
τὸ πλοῖον	Fahrzeug, Schiff.
τὸ ἄστρον	Gestirn.
τὸ δένδρον	Baum.
τὸ ἔργον	Werk, That.
τὸ ὅπλον	Waffe.
τὸ τέκνον	Kind.
τὸ τόξον	Bogen.
τὸ φύλλον	Blatt.
τὸ θηρίον	Tier.
τὸ πεδίον	Ebene.
τὸ εἴδωλον	Bild.
τὸ στρατόπεδον	Lager.
τὸ τρόπαιον	Siegeszeichen.
τὸ φάρμακον	Heilmittel.

4.

ἄρχω	herrsche, beherrsche (jem.: Gen.).
